Τελοῦμε μνημόσυνα κατά τήν τρίτη ἡμέρα, γιατί κατ' αὐτήν παραμορφώνεται ἡ ὄψη τοῦ ἀνθρώπου, κατά τήν ἐνάτη, διότι τότε διαλύονται τά σπλάγχνα του, ὅμως διασώζεται ἡ καρδιά. Κατά τήν Τεσσαρακοστή, γιατί καί αὐτή ἡ καρδιά τότε καταστρέφεται. Ἀλλά κατ' ἀνάλογο τρόπο προχωρᾶ καί ἡ γέννηση τοῦ ἀνθρώπου: Τήν τρίτη ἡμέρα σχηματίζεται ἡ καρδιά. Τήν ἐνάτη διαμορφώνεται τό σῶμα, τήν τεσσαρακοστή ἀποκτᾶ τήν πλήρη μορφή του. Γι' αὐτούς τούς λόγους τελοῦμε τά μνημόσυνα τῶν ψυχῶν».



ΠΑΡΑΠΟΜΠΕΣ

1. Ἰωάννου Χρυσοστόμου, Ὁμιλίαι εἰς τήν Α΄ Πρός Κορινθίους Ἐπιστολή, (ΜΑ΄) *PG* 61, 361.

2. Ὁσίου Ἐφραίμ τοῦ Σύρου, *Ἡ Διαθήκη τοῦ Ὁσίου Ἐφραίμ*, Ἔργα, τόμος ἕβδομος, Κείμενο-Μετάφραση-Σχόλια Κ. Γ. Φραντζολᾶ, Ἐκδόσεις Τό περιβόλι τῆς Παναγίας, Θεσσαλονίκη 1998[1], σ. 413-414.

3. Ἰωάννου Χρυσοστόμου, Ὁμιλίαι εἰς τήν Α΄ Πρός Κορινθίους Ἐπιστολή, (ΜΑ΄) *PG* 61, 361.

4. Στιχηρόν τοῦ Ἑσπερινοῦ τοῦ Σαββάτου πρό τῆς Ἀπόκρεῳ (*Τριῴδιον*, Ἔκδοσις τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος).

5. Τροπάριο ἐκ τοῦ Κανόνος τοῦ Σαββάτου πρό τῆς Ἀπόκρεῳ (*Τριῴδιον*, Ἔκδοσις τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος).

6. *«Ἐν δὲ ταῖς μνείαις αὐτῶν καλούμενοι μετὰ εὐταξίας ἑστιᾶστε καὶ φόβου Θεοῦ, ὡς δυνάμενοι καὶ πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων»* Διαταγαί Ἀποστόλων Η΄, κεφ. 44 (XLIV) *ΒΕΠΕΣ* 2, 169.

   Δηλαδή: *«Ὅταν σᾶς καλοῦνε στά μνημόσυνα νά συμμετέχετε μέ τάξη καί σεβασμό στόν Θεό καί κατά τήν δυναμή σας νά πρεσβεύετε γιά τούς κεκοιμημένους».*

7. Κείμενο:

Ι. Περὶ τῶν ἐπὶ τοῖς κεκοιμημένοις τελουμένων.

«§1. Τούτων δὲ διωρισμένων ἀναγκαῖον εἰπεῖν ὡς οἶμαι καὶ τὰ πρὸς ἡμῶν ἱερῶς ἐπὶ τῶν κεκοιμημένων τελούμενα. Καὶ γὰρ οὐδὲ τοῦτο κοινόν ἐστι τοῖς ἱεροῖς τε καὶ ἀνιέροις, ἀλλ' ὥσπερ ἀλλοῖον εἶδός ἐστι τῆς ἑκατέρων ζωῆς, οὕτω καὶ πρὸς θάνατον ἰόντες οἱ μὲν ἱερὰν ἐσχηκότες ζωὴν εἰς τὰς ἀληθεῖς ἐπαγγελίας τῆς θεαρχίας ἀποσκοποῦντες ὡς τὴν ἀλήθειαν αὐτῶν ἐν τῇ κατ' αὐτὴν ἀναστάσει τεθεαμένοι μετὰ βεβαίας καὶ ἀληθοῦς ἐλπίδος ἐν εὐφροσύνῃ θείᾳ πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν ὡς ἐπὶ τέλος ἱερῶν ἀγώνων ἐν παντελεῖ καὶ ἀτελευτήτῳ ζωῇ καὶ σωτηρίᾳ τὰ κατ' αὐτοὺς ἔσεσθαι πάντως εἰδότες διὰ τῆς ἐσομένης αὐτῶν ὁλικῆς ἀναστάσεως. Αἱ μὲν γὰρ ἱεραὶ ψυχαὶ πρὸς τὴν ἐπὶ τὰ χείρω κατὰ τὸν τῇδε βίον δυνάμεναι καταπίπτειν τροπὴν ἐν τῇ παλιγγενεσίᾳ τὴν ἐπὶ τὸ ἄτρεπτον ἕξουσι θεοειδεστάτην μετάταξιν. Τὰ δὲ καθαρὰ τῶν ἱερῶν ψυχῶν ὁμόζυγα καὶ ὁμοπόρευτα σώματα συναπογραφέντα καὶ συναθλήσαντα κατὰ τοὺς θείους αὐτῶν ἱδρῶτας ἐν τῇ τῶν ψυχῶν ἀτρέπτῳ κατὰ τὴν θείαν ζωὴν ἱδρύσει συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν. Ἑνωθέντα γὰρ αἷς ἥνωντο κατὰ τὸν τῇδε βίον ἱεραῖς ψυχαῖς, ὡς μέλη Χριστοῦ γεγονότα τὴν θεοειδῆ καὶ ἄφθαρτον ἀθάνατόν τε καὶ μακαρίαν ἀπολήψεται λῆξιν. Ἐν τούτοις μὲν οὖν ἡ τῶν ἱερῶν ἐστι κοίμησις ἐν εὐφροσύνῃ καὶ ἀσαλεύτοις ἐλπίσιν εἰς τὸ τῶν θείων ἀγώνων ἀφικνουμένη πέρας.

§2. Τῶν δὲ ἀνιέρων οἱ μὲν εἰς ἀνυπαρξίαν ἀλόγως οἴονται χωρεῖν, οἱ δὲ τὴν σωματικὴν εἰσάπαξ ἀπορρήγνυσθαι τῶν οἰκείων ψυχῶν συζυγίαν ὡς ἀνάρμοστον αὐταῖς ἐν θεοειδεῖ ζωῇ καὶ μακαρίαις λήξεσιν οὐκ ἐννοήσαντες οὐδὲ ἱκανῶς ἐν ἐπιστήμῃ θείᾳ μυηθέντες ἀρχθεῖσαν ἤδη τὴν καθ' ἡμᾶς ἐν Χριστῷ θεοειδεστάτην ζωήν. Ἄλλοι δὲ σωμάτων ἄλλων ἀπονέμουσι ταῖς ψυχαῖς συζυγίας ἀδικοῦντες τὸ ἐπ' αὐτοῖς ὡς οἶμαι τὰ συμπονήσαντα ταῖς θείαις ψυχαῖς καὶ τῶν ἱερῶν ἀντιδόσεων οὐκ εὐαγῶς ἀποστεροῦντες τὰ πρὸς τὸ πέρας ἐλθόντα τῶν θειοτάτων δρόμων. Ἄλλοι δὲ οὐκ οἶδ' ὅπως ἐπὶ προσύλους ἐννοίας ἀποκλιθέντες εἰρήκασιν ὁμοειδῆ τοῦ τῇδε βίου τὴν τοῖς ὁσίοις ἐπηγγελμένην ἁγιωτάτην καὶ μακαριστὴν λῆξιν καὶ τροφὰς οἰκείας ἀλλοιωτῷ βίῳ τοῖς ἰσαγγέλοις ἀθεμίτως ἀπέρριψαν. Ἀλλ' οὐκ ἀποπεσεῖταί τίς ποτε τῶν ἱερωτάτων ἀνδρῶν εἰς τὰς τοιάσδε πλανήσεις, ἀλλ' ὅλους αὐτοὺς ἀπολήψεσθαι τὴν Χριστοειδῆ λῆξιν εἰδότες, ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῇδε βίου, τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδὸν ὡς ἐγγυτέραν ἤδη γεγενημένην ἐμφανέστερον ὁρῶσι καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι καὶ θείας ἡδονῆς ἀποπληροῦνται τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκέτι δεδοικότες, ἀλλ' εὖ εἰδότες, ὅτι τὰ κτηθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἕξουσιν. Οἱ δὲ μολυσμῶν ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων, εἴπερ ἱερᾶς τινος τετυχήκασι μυήσεως αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀπορραπίσαντες ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχωνται τῆς ἐνθάδε ζωῆς, οὐκέτι ὁμοί-

ως αὐτοῖς εὐκαταφρόνητος φανεῖται τῶν λογίων ἡ θεία θεσμοθεσία, τὰς ὀλλυμένας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες καὶ τὴν ἱερὰν ζωὴν ἧς ἀνοήτως ἐκπεπτώκασιν, μακαρίσαντες ἐλεεινῶς καὶ ἀβουλήτως ἀποσχίζονται τοῦ τῇδε βίου πρὸς μηδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι διὰ τὴν χειρίστην ζωήν.

§3. Τούτων δὲ οὐδενὸς γινομένου κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν αὐτὸς μὲν ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων εὐφροσύνης ἱερᾶς ἀποπληροῦνται καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας, οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι κατὰ τὴν θείαν οἰκειότητα καὶ ὁμοτροπίαν αὐτόν τε ὅστις ἐστὶ μακαρίζουσι πρὸς τὸ νικηφόρον εὐκταίως ἀφικόμενον τέλος καὶ τῷ τῆς νίκης αἰτίῳ χαριστηρίους ᾠδὰς ἀναπέμπουσι προσέτι καὶ αὐτοὺς ἀφίκεσθαι πρὸς τὴν ὁμοίαν εὐχόμενοι λῆξιν, λαβόντες δὲ αὐτὸν ἐπὶ τὸν ἱεράρχην ἄγουσιν ὡς ἐπὶ στεφάνων ἱερῶν δόσιν. Ὁ δὲ ἀσμένως ὑποδέχεται καὶ τελεῖ τὰ κατὰ θεσμὸν ἱερὸν ἐπὶ τοῖς ὁσίως κεκοιμημένοις τελούμενα.

II. Μυστήριον ἐπὶ τῶν ἱερῶς κεκοιμημένων.

Συναγαγὼν ὁ θεῖος ἱεράρχης <τὸν> ἱερὸν χορόν, εἰ μὲν ἱερατικῆς ἐγεγόνει τάξεως ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου κατακλίνας αὐτὸν ἀπάρχεται τῆς πρὸς Θεὸν εὐχῆς καὶ εὐχαριστίας. Εἰ δὲ τοῖς εὐαγέσι μοναχοῖς ἢ τῷ ἱερῷ λαῷ κατετέτακτο, παρὰ τὸ τίμιον ἱερατεῖον αὐτὸν κατακλίνει πρὸ τῆς ἱερατικῆς εἰσελεύσεως,

εἶτα τελεῖ τὴν πρὸς Θεὸν εὐχαριστήριον εὐχὴν ὁ ἱεράρχης. Ἐξῆς δὲ οἱ λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας ἀψευδεῖς ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀναστάσεως ἀναγνόντες ἱερῶς ᾄδουσι τὰς ὁμολόγους καὶ ταὐτοδυνάμους τῶν ψαλμικῶν λογίων ᾠδάς. Εἶτα τῶν λειτουργῶν ὁ πρῶτος ἀπολύει τοὺς κατηχουμένους καὶ ἀνακηρύττει τοὺς ἤδη κεκοιμημένους ἁγίους, μεθ' ὧν ἀξιοῖ τὸν ἄρτι τελειωθέντα τῆς ὁμοταγοῦς ἀναρρήσεως καὶ προτρέπεται πάντας αἰτῆσαι τὴν ἐν Χριστῷ μακαρίαν τελείωσιν. Εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης εὐχὴν ἱεροτάτην ἐπ' αὐτῷ ποιεῖται καὶ μετὰ τὴν εὐχὴν αὐτός τε ὁ ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον καὶ μετ' αὐτὸν οἱ παρόντες ἅπαντες. Ἀσπασαμένων δὲ πάτων ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης καὶ τὴν ὑπὲρ πάντων εὐχὴν ἱερὰν ποιησάμενος ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

III. Θεωρία.

§1. Ταῦτα μὲν εἴπερ ἴδοιεν ἢ ἀκούσαιεν οἱ ἀνίεροι πρὸς ἡμῶν τελούμενα, πλατὺ γελάσουσιν ὡς οἶμαι καὶ τῆς πλανήσεως ἡμᾶς ἐλεήσουσιν.

Οὐ δεῖ δὲ πρὸς τοῦτο θαυμάζειν. Ἐὰν γὰρ μὴ πιστεύσωσιν, ὡς τὰ λόγιά φησιν, οὐδὲ μὴ συνήσουσιν. Ἡμεῖς δὲ τὰ νοητὰ τῶν τελουμένων ἐποπτεύσαντες Ἰησοῦ φωταγωγοῦντος εἴπωμεν, ὡς οὐκ ἀλόγως ὁ ἱεράρχης ἐπὶ τὸν ὁμοταγῆ χῶρον εἰσάγει καὶ ἐπιτίθησι τὸν κεκοιμημένον. Ἐμφαίνει γὰρ ἱερῶς, ὡς κατ' ἐκείνας ἔσονται πάν-

τες ἐν τῇ παλιγγενεσίᾳ τὰς ἀποκληρώσεις, καθ' ἃς ἐνθάδε τὴν οἰκείαν ζωὴν ἀπεκλήρωσαν. Οἷον εἰ θεοειδῆ τις ἔσχεν ἐνθάδε καὶ ἱερωτάτην ζωήν, ὡς ἀνδρὶ τὸ θεομίμητον ἐφικτόν, ἐν θείαις ἔσται κατὰ τὸν αἰῶνα τὸν μέλλοντα καὶ μακαρίαις λήξεσιν· εἰ δὲ τῆς κατ' ἄκρον θεοειδοῦς ὑφειμένην ἱερὰν δὲ ὅμως, ὁμοειδεῖς καὶ οὗτος ἀπολήψεται τὰς ἱερὰς ἀμοιβάς. Ὑπὲρ ταύτης τῆς θείας δικαιοσύνης ὁ ἱεράρχης εὐχαριστήσας εὐχὴν ἱερὰν ποιεῖται καὶ τὴν σεβασμίαν ὑμνεῖ θεαρχίαν ὡς καθαιρετικὴν τοῦ κατὰ πάντων ἡμῶν ἀδίκου καὶ τυραννικοῦ κράτους, μεταγωγὸν δὲ ἡμῶν ἐπὶ τὰ οἰκεῖα δικαιότατα κρίματα.

§2. Αἱ δὲ τῶν θεαρχικῶν ἐπαγγελιῶν ᾠδαὶ καὶ ἀναγνώσεις ἐκφαντορικαὶ μέν εἰσι τῶν μακαριωτάτων λήξεων, εἰς ἃς οἱ θείαν ἐσχηκότες τελείωσιν αἰωνίως καταταχθήσονται, τοῦ δὲ κοιμηθέντος ἱερῶς ἀποδεκτικαί, τῶν ἔτι δὲ ζώντων προτρεπτικαὶ πρὸς τὴν ὁμοίαν τελείωσιν.

§3. Σκόπει δέ, ὅτι νῦν οὐ πᾶσαι κατὰ τὸ σύνηθες αἱ καθαιρόμεναι τάξεις ἀπολύονται, μόνοι δὲ τῶν ἱερῶν ἐκβάλλονται χώρων οἱ κατηχούμενοι. Καὶ γὰρ αὕτη μὲν ἀμύητός ἐστι καθόλου πάσης ἱερᾶς τελετῆς καὶ πρὸς οὐδὲν οὐ μικρὸν οὐ μέγα τῶν ἱερῶς τελουμένων ἐποπτεύειν αὐτῇ θεμιτὸν ὡς οὐδὲ τῆς τῶν ἱερῶν ὀπτικῆς δυνάμεως μετασχούσῃ διὰ τῆς ἀρχιφώτου καὶ φωτοδότιδος θεογενεσίας· αἱ δὲ λοιπαὶ τῶν καθαιρομένων τάξεις ἐν μυήσει μὲν ἤδη γεγόνασιν ἱερᾶς παραδόσεως, ἀνοήτως δὲ πρὸς τὰ χείρω παλινδρομήσασαι

δέον ἐπὶ τὰ πρόσω τὴν οἰκείαν ἀναγωγὴν ἀποτελειῶσαι τῶν θεαρχικῶν μὲν ὡς ἐν συμβόλοις ἱεροῖς ἐποψιῶν καὶ κοινωνιῶν εὐλόγως ἀποδιαστέλλονται (βλαβήσονται γὰρ ἀνιέρως αὐτῶν μετέχουσαι καὶ πρὸς πλείονα τῶν θείων καὶ ἑαυτῶν ἐλεύσονται περιφρόνησιν), οὐκ ἀπεικότως δὲ πάρεισιν ἐπὶ τοῖς νῦν τελουμένοις ἐναργῶς ἐκδιδασκόμεναι καὶ ὁρῶσαι τὴν τοῦ καθ' ἡμᾶς ἀδειλίαν θανάτου καὶ τὰ τῶν ἁγίων γέρα πρὸς τῶν ἀληθῶν λογίων ὑμνούμενα καὶ τὰς ἠπειλημένας ἔσεσθαι τοῖς κατ' αὐτὰς ἀνιέροις ἀτελευτήτους ἀνίας. Ἔσται γὰρ αὐταῖς ἴσως ὄφελος ὁρώσαις τὸν ἱερῶς τετελειωμένον ὑπὸ τῆς λειτουργικῆς ἀναρρήσεως ὡς κοινωνὸν ὄντως ὄντα τῶν ἀπ' αἰῶνος ἁγίων ἱερῶς ἀνακηρυττόμενον. Καὶ τάχα καὶ αὐταὶ πρὸς τὴν ὁμοίαν ἔφεσιν ἥξουσι καὶ πρὸς τῆς λειτουργικῆς ἐπιστήμης ἐκδιδαχθήσονται μακαρίαν ἀληθῶς εἶναι ἐν Χριστῷ τελείωσιν.

§4. Εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης εὐχὴν ἱερὰν ἐπὶ τῷ κεκοιμημένῳ ποιεῖται, καὶ μετὰ τὴν εὐχὴν αὐτός τε ὁ ἱεράρχης αὐτὸν ἀσπάζεται καὶ ἑξῆς οἱ «παρόντες ἅπαντες»· ἡ μὲν οὖν εὐχὴ τῆς θεαρχικῆς ἀγαθότητος δεῖται πάντα μὲν ἀφεῖναι τὰ δι' ἀνθρωπίνην ἀσθένειαν ἡμαρτημένα τῷ κεκοιμημένῳ, κατατάξαι δὲ αὐτὸν ἐν φωτὶ καὶ χώρᾳ ζώντων εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τόπῳ, οὗ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

§5. Ταῦτα μὲν οὖν ὡς οἶμαι δῆλα τὰ τῶν ἁγίων μακαριώτατα γέρα. Τί γὰρ ἂν γένοιτο τῆς παντελῶς ἀλύπου καὶ φωτιστικῆς ἀθανασίας ἰσόρ-

ροπον; Εἰ καὶ τὰ μάλιστα ταῖς ἡμῶν ἀναλόγοις σημασίαις αἱ παντὸς ὑψηλότεραι νοὸς ἐπαγγελίαι σημαινόμεναι τῆς πραγματικῆς αὐτῶν ἀληθείας ἀποδεούσας ἔχουσι τὰς ὀνομασίας. Ἀληθὲς γὰρ εἶναι τὸ λόγιον οἰητέον ὅτι «Ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Κόλποι δέ εἰσιν ὡς οἶμαι τῶν μακαρίων πατριαρχῶν καὶ τῶν λοιπῶν ἁγίων ἁπάντων αἱ θειόταται καὶ μακαρισταὶ λήξεις αἱ τοὺς θεοειδεῖς ὑποδεχόμεναι πάντας εἰς τὴν ἐν αὐταῖς ἀγήρω καὶ μακαριωτάτην τελείωσιν.

§6. Φαίης δ' ἂν ἴσως ταῦτα μὲν ὀρθῶς εἰρῆσθαι παρ' ἡμῶν, ἀπορεῖν δὲ ὅτου ἕνεκα τῆς θεαρχικῆς ἀγαθότητος ὁ ἱεράρχης δεῖται τῶν ἡμαρτημένων αἰτῶν τῷ κεκοιμημένῳ τὴν ἄφεσιν καὶ τὴν τοῖς θεοειδέσιν ὁμοταγῆ καὶ φανοτάτην ἀποκλήρωσιν. Εἰ γὰρ ἀμοιβὰς ἀπολήψεται πᾶς ὑπὸ τῆς θείας δικαιοσύνης ὧν ἐν τῇ παρούσῃ ζωῇ χρηστῶν ἢ ἑτέρων ἔδρασεν, ἐτέλεσε δὲ τὰς κατὰ τὸν τῇδε βίον οἰκείας ἐνεργείας ὁ κεκοιμημένος, πρὸς τίνος ἱεραρχικῆς εὐχῆς ἐφ' ἑτέραν λῆξιν μεταταχθήσεται παρὰ τὴν ἀξίαν αὐτοῦ καὶ τῆς ἐνθάδε ζωῆς ἀμοιβαίαν; Ἐγὼ δέ, ὅτι μὲν ἀμοιβαίαν ἕξει τὴν ἀποκλήρωσιν ἕκαστος, εὖ οἶδα τοῖς λογίοις ἀκολουθῶν. Ἀπέκλεισε γάρ, φησίν, ὁ κύριος κατ' αὐτοῦ καὶ «Κομίσεται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν». Ὅτι δὲ καὶ τῶν δικαίων αἱ προσευχαὶ κατὰ τὸν τῇδε βίον, μήτι γε μετὰ θάνατον, εἰς τοὺς ἀξίους ἱερῶν εὐχῶν ἐνεργοῦσι μόνον, αἱ τῶν λογίων ἡμᾶς ἐκδι-

δάσκουσιν ἀληθεῖς παραδόσεις. Ἤ τί πρὸς τοῦ Σαμουὴλ ἀπώνατο; τί δὲ τὸν τῶν Ἑβραίων λαὸν ὤνησεν ἡ προφητικὴ προσευχή; Καὶ γὰρ ὡς εἴ τις ἡλίου τὰ οἰκεῖα δωρουμένου φῶτα τοῖς ἀβλαβέσιν ὀφθαλμοῖς ἐν μετουσίᾳ τοῦ ἡλιακοῦ φωτὸς αἰτεῖ γενέσθαι τὰς οἰκείας ὄψεις ἐξαφανίζων, οὕτω πρὸς ἀδυνάτους ἤρτηται καὶ περιττὰς ἐλπίδας ὁ τὰς τῶν ἁγίων ἐξαιτῶν προσευχὰς καὶ τὰς κατὰ φύσιν αὐτῶν ἱερὰς ἐνεργείας ἐλαύνων ἀπροσεξίᾳ τῶν θείων δώρων καὶ τῶν φανοτάτων καὶ ἀγαθοδοτίδων ἐντολῶν ἀποφοιτήσει. Φημὶ δὲ τοῖς λογίοις ἑπόμενος, ὡς ὠφέλιμοι πάμπαν εἰσὶν ἐν τῷδε τῷ βίῳ τῶν ἁγίων αἱ προσευχαὶ κατὰ τόνδε τὸν τρόπον· εἴ τις ἱερῶν ἐφιέμενος δώρων καὶ πρὸς μετοχὴν αὐτῶν ἔξιν ἱερὰν ἔχων ὡς τῆς οἰκείας ἐπιγνώμων βραχύτητος ἐλθὼν ἐπί τινα τῶν ὁσίων ἀνδρῶν ἀξιώσειεν αὐτὸν οἱ γενέσθαι συλλήπτορα καὶ συνικέτην, ὠφεληθήσεται πάντως ἐκ τούτου τὴν πάσας ὑπερκειμένην ὠφέλειαν. Ἐπιτεύξεται γὰρ ὧν αἰτεῖ θειοτάτων δώρων, ἀποδεχομένης αὐτὸν τῆς θεαρχικῆς ἀγαθότητος τῆς τε οἰκείας εὐλαβοῦς ἐπιγνωμοσύνης καὶ τῆς ἐπὶ τοῖς ὁσίοις αἰδοῦς καὶ τῆς τῶν αἰτηθεισῶν ἱερῶν αἰτήσεων ἐπαινετῆς ἐφέσεως καὶ καταλλήλου καὶ θεοειδοῦς ἕξεως. Ἔστι γὰρ καὶ τοῦτο τοῖς θεαρχικοῖς κρίμασι νενομοθετημένον τὸ τὰ θεῖα δῶρα τοῖς ἀξίοις τοῦ μετασχεῖν ἐν τάξει θεοπρεπεστάτῃ δωρεῖσθαι διὰ τῶν ἀξίων τοῦ μεταδοῦναι. Ταύτην οὖν εἴ τις ἀτιμάσειε τὴν ἱερὰν εὐκοσμίαν καὶ πρὸς ἀθλίαν οἴησιν ἐληλυθὼς ἱκανὸν ἑαυτὸν οἰηθείη πρὸς θεαρχικὴν ὁμιλίαν καὶ τῶν ὁσίων ὑπερφρονή-

σοι καὶ μὴν εἰ τὰς αἰτήσεις ἀναξίας Θεοῦ καὶ μὴ ἱερὰς αἰτήσοι καὶ τὴν ἔφεσιν τῶν θείων εἰ μὴ σύντονον ἔχοι καὶ ἑαυτῷ κατάλληλον, ἀποτεύξεται δι' ἑαυτὸν τῆς ἀνεπιστήμονος αἰτήσεως. Περὶ δὲ τῆς εἰρημένης εὐχῆς, ἣν ὁ ἱεράρχης ἐπεύχεται τῷ κεκοιμημένῳ, τὴν εἰς ἡμᾶς ἐλθοῦσαν ἐκ τῶν ἐνθέων ἡμῶν καθηγεμόνων παράδοσιν εἰπεῖν ἀναγκαῖον.

§7. Ὁ θεῖος ἱεράρχης ἐκφαντορικός ἐστιν, ὡς τὰ λόγιά φησιν, τῶν θεαρχικῶν δικαιωμάτων. «Ἄγγελος» γὰρ «Κυρίου παντοκράτορος Θεοῦ ἐστιν». Μεμάθηκεν οὖν ἐκ τῶν θεοπαραδότων λογίων, ὅτι τοῖς ὁσίως βιώσασιν ἡ φανοτάτη καὶ θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοτάτων ζυγῶν ἀντιδίδοται παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς φιλανθρωπίας τὰς ἐγγενομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κηλῖδας, ἐπείπερ «οὐδείς», ὡς τὰ λόγιά φησιν, «καθαρὸς ἀπὸ ῥύπου». Ταῦτα μὲν οὖν ὁ ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθῶν λογίων, αἰτεῖ δὲ αὐτὰ γενέσθαι καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασι τὰς ἱερὰς ἀντιδόσεις ἅμα μὲν ἐπὶ τὸ θεομίμητον ἀγαθοειδῶς ἐκτυπούμενος καὶ τὰς ἑτέρων δωρεὰς ὡς οἰκείας ἐξαιτῶν χάριτας, ἅμα δὲ καὶ τὰς ἀψευδεῖς ἐπαγγελίας εἰδὼς ἐσομένας καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων, ὅτι τὰ παρ' αὐτοῦ κατὰ θεσμὸν ἱερὸν ἐξαιτούμενα πάντως ἔσται τοῖς κατὰ θείαν ζωὴν τετελειωμένοις. Οὐ γὰρ ἂν ὁ ἱεράρχης ὁ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτης ἐξήτει ποτὲ τὰ μὴ τῷ θεῷ προσφιλέστατα καὶ πρὸς αὐτοῦ δοθήσεσθαι θειωδῶς ἐπηγγελμένα. Διὸ τοῖς ἀνιέροις οὐκ ἐπεύχεται ταῦτα κεκοιμημένοις, οὐ μόνον ὅτι τῆς ὑποφη-

τικῆς ἐν τούτῳ παρατραπήσεται τάξεως καί τι τῶν ἱεραρχικῶν αὐθάδως τολμήσει μὴ πρὸς τοῦ τελετάρχου κεκινημένος, ἀλλ' ὅτι καὶ τῆς ἐναγοῦς εὐχῆς ἀποτεύξεται πρὸς τοῦ δικαίου λογίου καὶ αὐτὸς οὐκ ἀπεικότως ἀκούων «Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε». Οὐκοῦν ὁ θεῖος ἱεράρχης ἐξαιτεῖ τὰ θειωδῶς ἐπηγγελμένα καὶ φίλα Θεῷ καὶ πάντως δωρηθησόμενα καὶ τὸ τῆς οἰκείας ἀγαθοειδοῦς ἕξεως ἐπιδεικνὺς τῷ φιλαγαθῷ Θεῷ καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων τὰ τοῖς ὁσίοις ἐσόμενα δῶρα. Οὕτω καὶ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ ἱεράρχαι δυνάμεις ὡς ἐκφαντορικοὶ τῶν θείων δικαιωμάτων οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου θεαρχίας εὐφήμως εἰπεῖν ὑπηρετικῶς ἑπομένης, ἀλλ' ὡς αὐτῶν ὑποφητικῶς ὑποκινοῦντι τῷ τελεταρχικῷ πνεύματι τοὺς κεκριμένους Θεῷ κατ' ἀξίαν ἀφοριζόντων. «Λάβετε» γάρ φησι «πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται.» Καὶ τῷ τὰς θείας ἀποκαλύψεις τοῦ παναγεστάτου πατρὸς ἐλλαμπομένῳ τὰ λόγιά φησιν «Ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς» ὡς ἐκείνου καὶ παντὸς τοῦ κατ' αὐτὸν ἱεράρχου κατὰ τὰς ἐν αὐτῷ γινομένας τῶν πατρικῶν δικαιωμάτων ἀποκαλύψεις ἐκφαντορικῶς καὶ διαπορθμευτικῶς τοὺς θεοφιλεῖς προσιεμένου καὶ τοὺς ἀθέους ἀποκληροῦντος. Καὶ τὴν ἱερὰν γὰρ ἐκείνην θεολογίαν, ὡς τὰ λόγιά φησιν, οὐκ αὐτοκινήτως οὐδὲ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων

ἀλλ' ὑπὸ Θεοῦ νοητῶς αὐτὸν τὰ οἰκεῖα μυήσαντος ἀπεφθέγξατο. Τοὺς μὲν οὖν ἐνθέους ἱεράρχας οὕτω τοῖς ἀφορισμοῖς καὶ πάσαις ταῖς ἱεραρχικαῖς δυνάμεσι χρηστέον, ὅπως ἂν ἡ τελετάρχις αὐτοὺς θεαρχία κινήσοι, τοὺς δὲ ἄλλους οὕτω τοῖς ἱεράρχαις, ἐν οἷς ἂν δρῶσιν ἱεραρχικῶς, προσεκτέον ὡς ὑπὸ θεοῦ κεκινημένοις. «Ὁ ἀθετῶν» γὰρ «ὑμᾶς» φησιν «ἐμὲ ἀθετεῖ».

§8. Ἀλλ' ἐπανέλθωμεν εἰς τὰ τῆς εἰρημένης εὐχῆς ἀκόλουθα. Τελέσας γὰρ αὐτὴν ὁ ἱεράρχης αὐτός τε ἀσπάζεται τὸν κεκοιμημένον καὶ ἑξῆς οἱ παρόντες ἅπαντες. Ἡδὺς γάρ ἐστι καὶ τίμιος ἅπασι τοῖς θεοειδέσιν ὁ κατὰ θείαν ζωὴν τετελειωμένος. Μετὰ δὲ τὸν ἀσπασμὸν ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης. Μέμνησο δέ, ὅτι κατὰ τὴν ἱερὰν θεογενεσίαν πρὸ τοῦ θειοτάτου βαπτίσματος πρώτη μέθεξις ἱεροῦ συμβόλου δωρεῖται τῷ τελουμένῳ μετὰ τὴν ὁλικὴν τῆς προτέρας ἐσθῆτος ἀπαμφίεσιν τὸ τῆς χρίσεως ἔλαιον. Ἐν τέλει δὲ νῦν ἁπάντων ἐπὶ τῷ κεκοιμημένῳ τὸ ἔλαιον ἐπιχέεται. Καὶ τότε μὲν ἡ τοῦ ἐλαίου χρῖσις ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας ἐκάλει τὸν τελούμενον, νῦν δὲ τὸ ἐπιχεόμενον ἔλαιον ἐμφαίνει κατὰ τοὺς αὐτοὺς ἱεροὺς ἀγῶνας ἀθλήσαντα καὶ τελειωθέντα τὸν κεκοιμημένον.

§9. Ταῦτα τελέσας ὁ ἱεράρχης ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων. Εἰ γὰρ ἐν ψυχῇ καὶ σώματι τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψυχῆς καὶ τὸ συναθλῆσαν αὐτῇ σῶμα κατὰ

τοὺς ἱεροὺς ἱδρῶτας. Ἔνθεν ἡ θεία δικαιοσύνη μετὰ τοῦ σφετέρου σώματος αὐτῇ δωρεῖται τὰς ἀμοιβαίας λήξεις ὡς ὁμοπορεύτου καὶ συμμετόχου τῆς ὁσίας ἢ τῆς ἐναντίας ζωῆς. Διὸ καὶ τῶν ἱερῶν ἡ θεία θεσμοθεσία τὰς θεαρχικὰς κοινωνίας ἀμφοῖν δωρεῖται, τῇ ψυχῇ μὲν ἐν καθαρᾷ θεωρίᾳ καὶ ἐπιστήμῃ τῶν τελουμένων, τῷ σώματι δὲ κατὰ τὸ θειότατον ὡς ἐν εἰκόνι μύρον καὶ τὰ τῆς θεαρχικῆς κοινωνίας ἱερώτατα σύμβολα, τὸν ὅλον ἄνθρωπον ἁγιάζουσα καὶ τὴν ὁλικὴν αὐτοῦ σωτηρίαν ἱερουργοῦσα καὶ τελεωτάτην αὐτοῦ τὴν ἀνάστασιν ἔσεσθαι διαγγέλλουσα ταῖς καθολικαῖς ἁγιστείαις.

§10. Τὰς δὲ τελεστικὰς ἐπικλήσεις οὐ θεμιτὸν ἐν γραφαῖς ἀφερμηνεύειν οὐδὲ τὸ μυστικὸν αὐτῶν ἢ τὰς ἐπ' αὐταῖς ἐνεργουμένας ἐκ Θεοῦ δυνάμεις ἐκ τοῦ κρυφίου πρὸς τὸ κοινὸν ἐξάγειν, ἀλλ' ὡς ἡ καθ' ἡμᾶς ἱερὰ παράδοσις ἔχει, ταῖς ἀνεκπομπεύτοις μυήσεσιν αὐτὰς ἐκμαθὼν καὶ πρὸς θειοτέραν ἕξιν καὶ ἀναγωγὴν ἔρωτι θείῳ καὶ ἐνεργείας ἱεραῖς ἀποτελεσθεὶς ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἀναχθήσῃ πρὸς τὴν ὑπερτάτην αὐτῶν ἐπιστήμην.

§11. Τὸ δὲ καὶ παῖδας οὔπω τὰ θεῖα συνιέναι δυναμένους τῆς ἱερᾶς μετόχους γίνεσθαι θεογενεσίας καὶ τῶν ἱερωτάτων τῆς θεαρχικῆς κοινωνίας συμβόλων δοκεῖ μὲν ὡς φῆς τοῖς ἀνιέροις εὐλόγου γέλωτος ἄξιον, εἰ τοὺς ἀκοῦσαι μὴ δυναμένους ἐκδιδάσκουσιν οἱ ἱεράρχαι τὰ θεία καὶ τοῖς μὴ νοοῦσιν εἰκῆ παραδιδόασι τὰς ἱερὰς παραδόσεις, καὶ τὸ ἔτι γελοιότερον· ὡς ὑπὲρ αὐτῶν ἕτεροι τὰς ἀποτα-

γάς φασι καὶ τὰς ἱερὰς ὁμολογίας. Δεῖ δὲ τὴν σὴν ἱεραρχικὴν σύνεσιν μὴ χαλεπαίνειν ἐπὶ τοῖς πεπλανημένοις, ἀλλ' εὐλαβῶς τε ἅμα καὶ τῆς αὐτῶν φωταγωγίας χάριν ἀγαπητικῶς ἀπολογεῖσθαι πρὸς τὰς ὑπ' αὐτῶν προφερομένας ἐνστάσεις προστιθέντα καὶ τοῦτο κατὰ θεσμὸν ἱερόν, ὡς οὐκ ἐν τῇ καθ' ἡμᾶς γνώσει πάντα τὰ θεῖα περιγράφεται, πολλὰ δὲ τῶν ὑφ' ἡμῶν ἀγνοουμένων αἰτίας ἔχει θεοπρεπεῖς ἡμῖν μὲν ἠγνοημένας, ἐπιστητὰς δὲ ταῖς ἡμῶν κρείττοσι τάξεσιν. Πολλὰ δὲ καὶ τὰς ὑπερτάτας οὐσίας λέληθε καὶ πρὸς μόνης ἀκριβῶς ἔγνωσται τῆς πανσόφου καὶ σοφοποιοῦ θεαρχίας. Πλήν γε ὅτι καὶ περὶ τούτου ταῦτά φαμεν, ἅπερ οἱ θεοειδεῖς ἡμῶν ἱεροτελεσταὶ πρὸς τῆς ἀρχαίας μυηθέντες παραδόσεως εἰς ἡμᾶς προήγαγον. Φασὶ γάρ, ὅπερ ἐστὶ καὶ ἀληθές, ὅτι κατὰ θεσμὸν ἱερὸν ἀναγόμενα τὰ βρέφη πρὸς ἕξιν ἱερὰν ἥξουσιν πάσης ἀποτελούμενα πλάνης καὶ ἀνιέρου ζωῆς ἀπείρατα. Τοῦτο τοῖς θείοις ἡμῶν καθηγεμόσιν εἰς νοῦν ἐληλυθὸς ἔδοξεν εἰσδέχεσθαι τὰ βρέφη κατὰ τόνδε τὸν ἱερὸν τρόπον, ὥστε τοὺς φυσικοὺς τοῦ προσαγομένου παιδὸς γονέας παραδιδόναι τὸν παῖδά τινι τῶν μεμυημένων ἀγαθῷ τὰ θεῖα παιδαγωγῷ καὶ τὸ λοιπὸν ὑπ' αὐτῷ τὸν παῖδα τελεῖν ὡς ὑπὸ θείῳ πατρὶ καὶ σωτηρίας ἱερᾶς ἀναδόχῳ. Τοῦτον οὖν ὁ ἱεράρχης ὁμολογοῦντα κατὰ τὴν ἱερὰν ἀνάγειν τὸν παῖδα ζωὴν ἀπαιτεῖ τὰς ἀποταγὰς ὁμολογῆσαι καὶ τὰς ἱερὰς ὁμολογίας οὐχ, ὡς ἂν ἐκεῖνοι γελῶντες φαῖεν, ἄλλον ἀντ' ἄλλου τὰ θεῖα μυῶν. Οὐδὲ γὰρ τοῦτό φησιν ὡς «Ὑπὲρ τοῦ παιδὸς ἐγὼ τὰς ἀποταγὰς ἢ ἱερὰς ὁμολογίας

ποιοῦμαι» ἀλλ' ὅτι «Ὁ παῖς ἀποτάσσεται καὶ συντάσσεται», τοῦτ' ἐστιν «Ὁμολογῶ τὸν παῖδα πείσειν εἰς νοῦν ἱερὸν ἰόντα ταῖς ἐμαῖς ἐνθέοις ἀναγωγαῖς ἀποτάξασθαι μὲν ὁλικῶς τοῖς ἐναντίοις, ὁμολογῆσαι δὲ καὶ ἐνεργῆσαι τὰς θείας ὁμολογίας». Οὐδὲν οὖν ὡς οἶμαι τὸ ἄτοπον, εἰ κατὰ θείαν ὁ παῖς ἀναγωγὴν ἀνάγεται καθηγεμόνα καὶ ἀνάδοχον ἱερὸν ἔχων ἔξιν αὐτῷ τῶν θείων ἐμποιοῦντα καὶ φυλάττοντα τῶν ἐναντίων ἀπείρατον. Μεταδίδωσι δὲ τῷ παιδὶ ἱερῶν συμβόλων ὁ ἱεράρχης, ὅπως ἐν αὐτοῖς ἀνατραφείη καὶ μηδὲ σχοίη ζωὴν ἑτέραν εἰ μὴ τὴν τὰ θεῖα θεωροῦσαν ἀεὶ καὶ κοινωνὸν αὐτῶν ἐν προκοπαῖς ἱεραῖς γινομένην ἕξιν τε ἱερὰν ἐν τούτοις ἴσχουσαν ἀναγομένην τε ἱεροπρεπῶς ὑπὸ τοῦ θεοειδοῦς ἀναδόχου. Τοσαῦτα, ὦ παῖ, καὶ οὕτω καλὰ τῆς καθ' ἡμᾶς ἱεραρχίας ὤπταί μοι τὰ ἑνοειδῆ θεάματα. Πρὸς ἄλλων δὲ ἴσως ὀπτικωτέρων νοῶν οὐ ταῦτα μόνον ἐθεωρήθη, φανερώτερα δὲ πολλῷ καὶ θεοειδέστερα. Καὶ σοὶ δὲ ὡς οἶμαι πάντως ἐλλάμψει τηλαυγέστερα κάλλη καὶ θειότερα τοῖς εἰρημένοις ἐπαναβαθμοῖς χρωμένῳ πρὸς ὑπερτέραν ἀκτῖνα. Μετάδος οὖν, ὦ φίλε, καὶ αὐτὸς ἐμοὶ τελεωτέρας ἐλλάμψεως καὶ δεῖξον ἐμοῖς ὀφθαλμοῖς, ἅπερ ἂν ἰδεῖν δυνηθείης εὐπρεπέστερα κάλλη καὶ ἑνοειδέστερα. Θαρρῶ γάρ, ὅτι τοῖς εἰρημένοις ἐγὼ τοὺς ἐναποκειμένους ἐν σοὶ τοῦ θείου πυρὸς ἀνασκαλεύσω σπινθῆρας» (Διονυσίου Ἀρεοπαγίτου, Περί Ἐκκλησιαστικῆς Ἱεραρχίας, κεφάλαιο Ζ΄ «Περί τῶν ἐπί τοῖς κεκοιμημένοις τελουμένων», *PG* 3, 552C-569A).

Μετάφραση:

Ι. Γιά ὅσα τελοῦνται στούς νεκρούς.

«§1. Τώρα πού αὐτά καθορίστηκαν, εἶναι ἀπαραίτητο νομίζω νά ἀναφέρομε καί τά ἱερά πού τελοῦμε ἐμεῖς στούς νεκρούς μας. Γιατί μήτε αὐτά δέν εἶναι κοινά στούς πιστούς καί στούς μή πιστούς, παρά ὅπως εἶναι διαφορετικός ὁ τρόπος τῆς ζωῆς τους ἔτσι κι ὅταν βαδίσουν στόν θάνατο, ὅσοι ἔχουν ζήσει ἱερή ζωή, ἀποβλέποντας στίς ἀληθινές ἐπαγγελίες τῆς θεαρχίας, πού τίς εἶδαν νά ἐπαληθεύονται στήν ἀνάσταση τοῦ Χριστοῦ, ὁδεύουν μέ σταθερή κι ἀληθινή ἐλπίδα μέ θεϊκή χαρά πρός τό τέλος τοῦ θανάτου εἶναι σά νά βαδίζουν σέ τέλος ἱερῶν ἀγώνων γνωρίζοντας ὅτι ὁπωσδήποτε θά καταλήξουν σέ τέλεια καί ἀτελεύτητη ζωή καί σωτηρία κατά τήν καθολική ἀνάστασή τους. Γιατί ἐνῶ οἱ πιστές ψυχές ἔχουν τήν πιθανότητα κατά τή ζωή τους ἐδῶ στή γῆ νά ὑποστοῦν τήν τροπή πρός τό χειρότερο, κατά τήν ἀναγέννησή τους θ' ἀποκτήσουν μέ τήν εἴσοδό τους τή θεομορφότατη μετάταξή τους στό ἀμετάτρεπτο. Καί τῶν ἱερῶν ψυχῶν τά καθαρά σώματα, πού συμπορεύτηκαν μαζί τους δεμένα στόν ἴδιο ζυγό, πού ἀπογράφηκαν μαζί τους καί συνάθλησαν μέ θεϊκούς ἀγῶνες καί ἱδρῶτες, μέσα στήν ἄτρεπτη ἐγκατάσταση τῶν ψυχῶν κατά τή θεία ζωή τους θά συναπολαύσουν καί τή δική τους ἀνάσταση. Γιατί ἑνωμένα μέ ὅποιες ἱερές ψυχές εἶχαν ἑνωθεῖ κατά τή ζωή τους στή γῆ, ἐπειδή εἶχαν γίνει μέλη τοῦ σώματος τοῦ Χριστοῦ,

θ' ἀπολαύσουν τό θεόμορφο καί ἄφθαρτο κι ἀθάνατο καί μακάριο τέλος. Σ' αὐτά πραγματοποιεῖται ἡ κοίμηση τῶν ἱερῶν ψυχῶν μέ εὐφροσύνη κι ἐλπίδες ἀσάλευτες φτάνοντας στό τέλος τῶν θείων ἀγώνων.

§2. Ἀπό τούς μή πιστούς ἄλλοι δοξάζουν παράλογα ὅτι βαδίζουν πρός τήν ἀνυπαρξία κι ἄλλοι ὅτι σπάζει μιά καί καλή ἡ συζυγία τῶν ψυχῶν τους μέ τό σῶμα, γιατί δέν ταιριάζει σ' αὐτές μέσα στή θεόμορφη ζωή καί τά μακάρια τέλη, δέν ἐννόησαν οὔτε ἔλαβαν ἱκανοποιητική διδασκαλία μέ θεϊκή γνώση ὅτι ἔχει ἤδη ἀρχίσει γιά μᾶς ἡ κατά Χριστόν θεόμορφη ζωή. Ἄλλοι πάλι προβλέπουν γιά τίς ψυχές συζεύξεις μέ ἄλλα σώματα, παραγνωρίζοντας ἀπό μέρος τους, ὅπως νομίζω, τά σώματα πού συγκοπίασαν μέ τίς θεῖες ψυχές καί ὄχι ὀρθά ἀποστερώντας ἀπό τίς ἱερές ἀνταμοιβές τά σώματα πού ἔφτασαν στό τέρμα τῶν θεϊκότατων δρόμων. Καί ἄλλοι δέν ξέρω πῶς ἔκλιναν σέ πρόσυλες ἔννοιες καί διακήρυξαν ὅτι τό ὑποσχεμένο στούς ὁσίους ἁγιότατο καί μακαριότατο τέλος εἶναι ὅμοιο μέ τή ζωή μας στή γῆ καί πέταξαν ἀθέμιτα στούς ἴσους μέ τούς ἀγγέλους τροφές πού εἶναι οἰκεῖες στή ζωή τῆς μεταβολῆς. Κανένας ὅμως ἀπό τούς ἱερότατους ἄνδρες δέν θά πέσει ποτέ σέ τέτοιες πλάνες. Ἀλλά γνωρίζοντας ὅτι ὅλοι αὐτοί θά ἀπολαύσουν τό χριστόμορφο τέλος, ὅταν φτάσουν στό τέλος τῆς ζωῆς αὐτῆς, βλέπουν καθαρότερα τόν δρόμο τους πρός τήν ἀφθαρσία, ἐπειδή ἔγινε πιά κοντινότερή τους, καί ὑμνοῦν τίς δωρεές τῆς θεαρχίας, γεμίζουν ἀπό

θεία ἡδονή καί δέ φοβοῦνται πιά τήν τροπή στά χειρότερα ἀλλά γνωρίζουν πολύ καλά ὅτι ὅσα καλά ἀπόκτησαν θά τά διατηρήσουν σταθερά στόν αἰῶνα. Σ' ἐκείνους ὅμως πού γεμάτοι ἀπό μολυσμούς καί κηλίδες ἀνίερες –ἄν ἔχουν τύχει κάποια ἱερή μύηση καί οἱ ἴδιοι τήν ἔχουν ἀπορραπίσει ἀπό τόν νοῦ πρός ὄλεθρό τους– αὐτομόλησαν στίς φθοροποιές ἐπιθυμίες, ὅταν ἔρχονται στό τέλος τῆς ζωῆς αὐτῆς, δέν θά τούς φανεῖ ὅμοια εὐκαταφρόνητη ἡ Θεία νομοθεσία τῶν Λογίων. Κι ἀφοῦ δοῦνε μέ ἄλλα μάτια τίς ἡδονές τῶν παθῶν τους πού χάνονται καί μακαρίσουν τήν ἱερή ζωή, ἀπ' τήν ὁποία ξέπεσαν ἀνόητα, ἀποσπῶνται ἀξιολύπητα καί ἀθέλητα ἀπό τή ζωή στή γῆ, χωρίς νά ὁδηγοῦνται ἐξαιτίας τῆς κάκιστης ζωῆς τους σέ καμιά ἱερή ἐλπίδα.

§3. Ἐπειδή τίποτα ἀπό αὐτά δέ γίνεται κατά τίς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν, αὐτός πού ὁδεύει πρός τό τέλος τῶν ἀγώνων του γεμίζει ἀπό ἱερή εὐφροσύνη καί μέ πολλή εὐχαρίστηση παίρνει νά βαδίζει τόν δρόμο τῆς ἱερᾶς ἀναγεννήσεώς τους. Οἱ συγγενεῖς τῶν νεκρῶν κατά τή θεϊκή συγγένεια καί ταυτότητα ζωῆς κι αὐτόν μακαρίζουν τέτοιος πού ἔγινε, ἀφοῦ ἔφτασε ὅπως θά τοῦ εὔχονταν στό νικητήριο τέλος κι ἀναπέμπουν εὐχαριστηρίους ὕμνους στόν αἴτιο τῆς νίκης κι εὔχονται ἀκόμα νά φτάσουν κι ἐκεῖνοι στό ὅμοιο τέλος. Κι ἀφοῦ τόν πάρουν, τόν φέρνουν στόν ἱεράρχη, γιά νά τοῦ δώσει τά ἱερά στεφάνια. Αὐτός τόν δέχεται μέ χαρά καί τελεῖ ὅσα κατά τήν ἱερή τάξη τελοῦνται στούς νεκρούς.

ΙΙ. Τελετή γιά ὅσους κοιμήθηκαν ἱερά.

Ἀφοῦ συγκεντρώσει ὁ θεῖος ἱεράρχης τόν ἱερό χορό, ἄν ὁ νεκρός ἀνῆκε στήν ἱερατική τάξη, κι ἀφοῦ βάλει νά τόν ξαπλώσουν μπροστά στό θεῖο θυσιαστήριο, ἀρχίζει ν᾽ ἀπευθύνει στόν Θεό τήν προσευχή καί τήν εὐχαριστία. Ἄν ἦταν ἀπό τήν τάξη τῶν ἁγίων μοναχῶν καί τοῦ ἱεροῦ λαοῦ, τόν ξαπλώνει κοντά στό τίμιο ἱερατεῖο, μπροστά ἀπό τήν εἴσοδο τῶν ἱερέων. Ἔπειτα ὁ ἱεράρχης τελεῖ τήν εὐχαριστήρια εὐχή πρός τόν Θεό. Στή συνέχεια οἱ λειτουργοί ἀφοῦ διαβάσουν τίς ἀδιάψευστες ὑποσχέσεις πού περιέχονται στά ἱερά Λόγια γιά τήν ἱερή μας ἀνάσταση, ψάλλουν τίς ὁμόλογες καί παντοδύναμες μέ τούς ψαλμικούς λόγους ὠδές. Ἔπειτα ὁ πρῶτος ἀπό τούς λειτουργούς κάνει ἀπόλυση τῶν κατηχουμένων καί μνημονεύει τούς ἁγίους πού ἔχουν ἤδη κοιμηθεῖ καί γιά τή μνημόνευση αὐτή στήν ἴδια τάξη κρίνει ἄξιο τόν προολίγου νεκρό καί προτρέπει ὅλους νά ζητήσουν τή μακάρια τελείωση στ᾽ ὄνομα τοῦ Χριστοῦ. Ἔπειτα ἔρχεται ὁ θεῖος ἱεράρχης καί τοῦ διαβάζει ἱερότατη εὐχή καί μετά τήν εὐχή κι ὁ ἴδιος ἱεράρχης ἀσπάζεται τόν νεκρό κι ἔπειτ᾽ ἀπ᾽ αὐτόν ὅλοι ὅσοι παρευρίσκονται. Κι ὅταν τόν ἀσπαστοῦν ὅλοι, χύνει ὁ ἱεράρχης τό λάδι στόν νεκρό κι ἀφοῦ κάνει τήν ἱερή εὐχή γιά τό ὄνομα ὅλων, ἀποθέτει σέ ἱερό τόπο τό σῶμα μαζί μέ ἄλλα ὁμοταγῆ ἱερά σώματα.

ΙΙΙ. Θεωρία.

§1. Ἄν δοῦν ἢ ἂν ἀκούσουν οἱ μή πιστοί ὅτι ἐμεῖς τελοῦμε αὐτά τά πράγματα, θά γελάσουν πλατιά

ὅπως νομίζω, καί θά νιώσουν οἶκτο γιά τήν πλάνη μας καί δέν πρέπει ν᾽ ἀποροῦμε γι᾽ αὐτό. Γιατί ἄν δέν πιστέψουν ὅ,τι λένε τά Λόγια, οὔτε καί θά καταλάβουν. Ἐμεῖς ἀφοῦ ἐποπτεύσουμε τό νόημα τῶν τελετῶν μέ τόν φωτισμό τοῦ Ἰησοῦ, ἄς ποῦμε ὅτι ὄχι χωρίς λόγο ὁ ἱεράρχης εἰσάγει καί ἀποθέτει τόν νεκρό στόν ἀντίστοιχο χῶρο. Γιατί φανερώνει ἱερά ὅτι κατά τήν παλιγγενεσία θά βρεθοῦν ὅλοι μέ τίς ἀπονομές ἐκεῖνες στίς ὁποῖες ἀφιέρωσαν τήν ἐδῶ ζωή τους. Παράδειγμα. Ἄν κάποιος ἔζησε ἐδῶ θεόμορφη καί ἱερότατη ζωή, ὅσο εἶναι ἐφικτό νά μιμηθεῖ ὁ ἄνθρωπος τό θεῖο, θά βρεθεῖ κατά τόν μέλλοντα αἰῶνα σέ θεϊκές καί μακάριες καταλήξεις. Ἄν κατώτερη κάπως ἀπό τήν ἀκραία θεόμορφη ζωή ἀλλά πάντως ἱερή, θά λάβει κι αὐτός ἱερές ἀμοιβές τοῦ ἴδιου εἴδους. Ὑπέρ αὐτῆς τῆς θείας δικαιοσύνης, ἀφοῦ εὐχαριστήσει ὁ ἱεράρχης, κάνει ἱερή εὐχή καί ὑμνεῖ τή σεβάσμια θεαρχία, ἐπειδή ἔχει καθαιρέσει τήν τυραννική κυριαρχία πού καταπλάκωνε ὅλους μας καί μᾶς ἔχει μεταφέρει ὅπου ὁρίζουν οἱ δικαιότατες κρίσεις της.

§2. Οἱ ὠδές καί τά ἀναγνώσματα τῶν θεαρχικῶν ὑποσχέσεων μᾶς δίνουν ἐξήγηση γιά τίς παμμακάριες κατοικίες, ὅπου θά καταταχθοῦν αἰώνια ὅσοι ἔλαβαν τό ἴδιο θεϊκό τέλος ζωῆς, ἀποδέχονται αὐτόν πού ἔχει κοιμηθεῖ ἱερά καί προτρέπουν στήν ὅμοια τελείωση ὅσους ζοῦνε ἀκόμα.

§3. Πρόσεξε ὅτι στό σημεῖο αὐτό δέν παίρνουν ἀπόλυση ὅλες οἱ τάξεις, ὅπως εἶναι ἡ συνήθεια ἀπό τούς ἱερούς χώρους ἀπομακρύνονται μόνο οἱ

κατηχούμενοι, γιατί αὐτοί εἶναι ὁλότελα ἀμύητοι ἀπό κάθε ἱερή τελετή καί δέν τούς ἐπιτρέπεται νά γίνουν ἐπόπτες κανενός ἱεροῦ ἀπό ὅσα τελοῦνται εἴτε μικρό εἶναι εἴτε μεγάλο, ἐπειδή δέν ἔχουν κοινωνήσει οὔτε τή δύναμη νά βλέπουν τά ἱερά, μέ τήν ἀρχίφωτη καί φωτοδότρα θεϊκή γέννηση. Οἱ ἄλλες τάξεις ὅσων καθαίρονται ἔχουν ἤδη μυηθεῖ τήν ἱερή παράδοση. Ἐπειδή ὅμως ἔχουν παλινδρομήσει ἀνόητα στά χειρότερα, ἐνῶ πρέπει νά ὁλοκληρώσουν τήν ἀνηφορική πορεία τους πρός τά ἐμπρός, ἀποχωρίζονται εὔλογα ἀπό τά ἱερά σύμβολα τῶν θεαρχικῶν θεαμάτων καί μεθέξεων. Γιατί θά ζημιωθοῦν, ἄν τά μετέχουν αὐτά ἀνίερα καί θά ὁδηγηθοῦν νά περιφρονήσουν πιό πολύ τά θεῖα καί τόν ἑαυτό τους. Δέν εἶναι ἀταίριαστο πού εἶναι παροῦσες σέ ὅσα τελοῦνται τώρα, γιατί διδάσκονται ὁλοκάθαρα καί βλέπουν πόσο ἄδηλη εἶναι ἡ ὥρα τοῦ θανάτου μας καί τά βραβεῖα τῶν ἁγίων πού ὑμνοῦν τά Λόγια πού δέν ψεύδονται, καθώς καί τά ἀτελεύτητα δεινά πού ἀπειλοῦνται γιά ὅσους στίς τάξεις αὐτές εἶναι ἀνίεροι. Γιατί θά ὠφεληθοῦν ἴσως βλέποντας αὐτόν πού ἔχει τελειωθεῖ ἱερά ν᾽ ἀναγορεύεται ἱερά ἀπό τή λειτουργική μνημόνευση κοινωνός γνήσιος τῶν ἁγίων ἀπό τήν ἀρχή τοῦ κόσμου καί ἴσως θά φτάσουν κι αὐτές σέ ὅμοια ἐπιθυμία καί θά διδαχθοῦν ἀπό τή λειτουργική ἐπιστήμη ὅτι εἶναι ἀληθινά μακάρια ἡ τελείωση στ᾽ ὄνομα τοῦ Χριστοῦ.

§4. Ἔπειτα προχωρεῖ ὁ ἱεράρχης καί διαβάζει στόν νεκρό ἱερές εὐχές καί μετά τήν εὐχή τόν ἀσπάζεται καί ὁ ἱεράρχης καί μέ τή σειρά ὅλοι

ὅσοι εἶναι παρόντες. Ἡ εὐχή παρακαλεῖ τή θεαρχική ἀγαθότητα, γιά νά συγχωρηθοῦν στόν νεκρό ὅλα ὅσα ἔπραξε ἀπό ἀνθρώπινη ἀδυναμία καί νά καταταχθεῖ μέσα στό Φῶς, στή χώρα ὅσων ζοῦν ἀληθινά, στούς κόλπους τοῦ Ἀβραάμ, τοῦ Ἰσαάκ καί τοῦ Ἰακώβ, στόν τόπο ὅπου ἀπουσιάζει ἡ ὀδύνη, ἡ λύπη καί ὁ στεναγμός.

§5. Εἶναι, νομίζω, φανερά αὐτά τά παμμακάρια βραβεῖα τῶν ἁγίων. Τί θά μποροῦσε νά ἰσοσταθμίσει τήν ὁλότελα ἄλυπη καί ὁλόφωτη ἀθανασία; Μόλο πού καί μέ τή μεγαλύτερη ἀκρίβεια ἄν δηλώνονται μέ τίς ἀνάλογες δικές μας σημασίες οἱ ψηλότερες ἀπό κάθε νοῦ ὑποσχέσεις, ἔχουν ὁπωσδήποτε τίς ὀνομασίες κατώτερες ἀπό τήν πραγματική ἀλήθεια. Πρέπει νά πιστέψομε ἀληθινό τόν λόγο τῆς Γραφῆς ὅτι «Δέν εἶδε μάτι, καί δέν ἄκουσε αὐτί καί ἀνθρώπου καρδιά δέν ἔχει συλλάβει ὅσα ἑτοίμασε ὁ Θεός γι' αὐτούς πού τόν ἀγαποῦν» (Α΄ Πρός Κορινθίους β΄, 9). «Κόλποι» εἶναι ὅπως νομίζω, οἱ θεϊκότατες καί μακαριστές κατοικίες τῶν μακαριστῶν πατριαρχῶν καί τῶν ἄλλων ἁγίων, πού ὑποδέχονται ὅλους τούς θεόμορφους στήν ἀγέραστη καί παμμακάρια τελείωση.

§6. Θά δεχτεῖς ἴσως ὅτι αὐτά ὀρθά τά διατυπώσαμε, θ' ἀπορήσεις ὅμως γιά ποιό λόγο ὁ ἱεράρχης κάνει δέηση στή θεαρχική ἀγαθότητα, γιά νά συγχωρηθοῦν ὅσα ἔχει ἁμαρτήσει ὁ νεκρός καί νά τοῦ δοθεῖ ἡ ὅμοια καί λαμπρότατη κληρονομία τῶν θεόμορφων. Γιατί ἄν εἶναι νά λάβει καθένας ἀπό τή θεία δικαιοσύνη ἀνταποδόσεις γιά

ὅσα χρηστά ἤ καί ἀντίθετα ἔπραξε στήν παροῦσα ζωή κι ὁ νεκρός ἔχει κάνει αὐτά ἤ ἐκεῖνα τά ἔργα, στή ζωή αὐτή, ποιά εἶναι ἡ ἱεραρχική εὐχή πού θά τόν μεταφέρει σέ ἄλλη διαμονή, ἀντίθετα μέ τήν ἀξία του καί τήν ἀντιστοιχία τῆς ἐδῶ ζωῆς; Ὅ, τι θά ἔχει καθένας τήν ἀντίστοιχη ἀμοιβή, τό γνωρίζω καλά ἀκολουθώντας τά Λόγια. Λέει ὁ Κύριος «ἐξασφάλισε γιά τόν ἑαυτό του καί θά πάρει καθένας ὅ,τι ἔπραξε μέ τό σῶμα του, εἴτε ἀγαθό εἴτε κακό». Ὅτι καί τῶν δικαίων οἱ προσευχές στή ζωή αὐτή, ὄχι βέβαια μετά θάνατο, ἐνεργοῦν μόνο σ᾽ ὅσους ἀξίζουν τίς ἱερές αὐτές εὐχές, μᾶς τό διδάσκουν οἱ ἀληθινές παραδόσεις τῶν Λογίων. Τί κέρδισε γιά παράδειγμα ὁ Σαούλ ἀπό τό Σαμουήλ καί τί ὠφέλησε τόν ἑβραϊκό λαό ἡ προσευχή τῶν προφητῶν; Ὅπως δηλαδή, ἐνῶ ὁ ἥλιος χαρίζει τό φῶς του στά μάτια πού εἶναι ὑγιή, κάποιος ζητεῖ νά κοινωνήσει τό ἡλιακό φῶς καταστρέφοντας τά μάτια του, ἔτσι κρεμιέται ἀπό ἀδύνατες κι ἀνώφελες ἐλπίδες αὐτός πού παρακαλεῖ γιά τίς προσευχές τῶν ἁγίων, ἀπωθεῖ ὅμως τίς σύμφωνες μέ τή φύση ἱερές ἐνέργειές τους ἀπό παραμέληση τῶν θείων δώρων καί ἀπομάκρυνση ἀπό τίς ὁλόλαμπρες κι εὐεργετικές ἐντολές. Ἀκολουθώντας λοιπόν τά Λόγια λέγω, ὅτι ἡ προσευχή τῶν ἁγίων εἶναι πάρα πολύ ὠφέλιμη στή ζωή αὐτή κατά τόν ἀκόλουθο τρόπο. Ἄν κάποιος ἐπιθυμεῖ ἱερά δῶρα κι ἔχει ἱερή τάση γιά μετοχή τους ἀναγνωρίζοντας τήν ἀνικανότητά του, νά πάει σέ κάποιον ἀπό τούς ὁσίους καί νά ζητήσει νά τοῦ γίνει βοηθός καί συμπαρακλητής καί θά ὠφεληθεῖ ἀπό αὐτό

τήν ὠφέλεια τήν πάνω ἀπό ὅλες. Θά ἐπιτύχει δηλαδή τά θεϊκότατα δῶρα πού ζητεῖ, θά τόν δεχτεῖ ἡ θεαρχική καλοσύνη ἐξαιτίας τῆς εὐλαβικῆς γνώσης τοῦ ἑαυτοῦ του, τοῦ σεβασμοῦ του πρός τούς ὁσίους, τῆς ἀξιέπαινης ἐπιθυμίας του γιά ὅσα ἱερά ζήτησε καί τῆς κατάλληλης καί θεόμορφης τάσης του. Γιατί τό ἔχουν νομοθετήσει καί τοῦτο οἱ θεαρχικές ἀποφάσεις νά παραχωροῦνται τά θεῖα δῶρα στούς ἄξιους νά τά μεταλάβουν μέ θεϊκή τάξη ἀπό τούς ἄξιους νά τά μεταδώσουν. Ἄν κάποιος καταπατήσει τήν ἱερή αὐτή τάξη καί φτάνοντας σέ ἄθλια οἴηση θεωρήσει τόν ἑαυτό του ἱκανό γιά τή θεαρχική συντροφιά καί ἀλαζονευτεῖ μπροστά στούς ὁσίους, ἀλλά κι ὅταν ἀπευθύνει αἰτήσεις ἀνάξιες γιά τόν Θεό καί ὄχι ἱερές κι ἄν δέν ἔχει ἀκοίμητη τήν ἔφεση τῶν θεϊκῶν καί κατάλληλη γιά τόν ἑαυτό του, θ' ἀποτύχει στήν ἀθεμελίωτη αἴτησή του. Γιά τήν εὐχή πού εἴπαμε ὅτι ὁ ἱεράρχης διαβάζει στόν νεκρό εἶναι ἀνάγκη ν' ἀναφερθοῦμε στήν παράδοσή της σ' ἐμᾶς ἀπό τούς ἔνθεους καθοδηγούς μας.

§7. Ὁ θεῖος ἱεράρχης εἶναι, ὅπως λένε τά Λόγια, ἑρμηνευτής τῶν θεϊκῶν κρίσεων γιατί εἶναι ἄγγελος τοῦ Θεοῦ, τοῦ Κυρίου καί Παντοκράτορα. Ἔχει μάθει λοιπόν ἀπό τά θεοπαράδοτα Λόγια ὅτι ἡ λαμπρότατη καί θεία ζωή ἀπονέμεται ἀπό τούς ἀκριβοδίκαιους ζυγούς τῆς δικαιοσύνης τοῦ Θεοῦ σέ ὅσους ἔζησαν ὅσια κατά τήν ἀξία τους παραβλέπει ἀπό καλοσύνη ἡ θεαρχική φιλανθρωπία τίς κηλίδες πού τούς προξενήθηκαν ἀπό ἀνθρώπινη ἀδυναμία γιατί κανένας ὅπως λένε τά Λόγια δέν

εἶναι καθαρός ἀπό ὁποιοδήποτε ρύπο. Αὐτά γνωρίζει ὁ ἱεράρχης ὅτι τά ἔχουν ἐπαγγελθεῖ τά θεῖα Λόγια ζητεῖ νά γίνουν αὐτά καί νά δωρηθοῦν οἱ ἱερές ἀνταμοιβές σέ ὅσους ἔζησαν ὅσια ἔτσι συμμορφώνεται σάν ἀγαθός στή μίμηση τοῦ θείου καί παρακαλεῖ γιά τίς δωρεές στούς ἄλλους σά νά ἦταν χάρες πρός τόν ἴδιο. Ταυτόχρονα γνωρίζει ὅτι οἱ ἀψευδεῖς ἐπαγγελίες θά πραγματοποιηθοῦν καί σάν ἑρμηνευτής φανερώνει ὅτι ὅσα κατά τήν ἱερή τάξη ζητεῖ θά γίνουν ὁπωσδήποτε σέ ὅσους ἔχουν τελειωθεῖ στή θεία ζωή. Γιατί ὁ ἱεράρχης, ὁ διδάσκαλος τῆς θεαρχικῆς δικαίωσης, δέ θά ζητοῦσε ποτέ ὅσα δέν εἶναι πολύ ἀγαπητά στόν Θεό καί δέν εἶναι ὑποσχεμένα μέ θεϊκή ὑπόσχεση ὅτι θά δοθοῦν ἀπό αὐτόν. Γι' αὐτό δέν διαβάζει τέτοια εὐχή στούς μή πιστούς νεκρούς κι ὄχι μόνο γιατί σ' αὐτό τό σημεῖο θά βγεῖ ἀπό τήν διαγγελτική τάξη καί θά ἀποτολμήσει μέ αὐθάδεια κάποια ἱεραρχική χειρονομία, χωρίς νά ἔχει διαταχθεῖ ἀπό τόν τελετάρχη ἀλλά γιατί θ' ἀστοχήσει καί στήν ἀνίερη εὐχή του καί θά τοῦ εἶναι ἀταίριαστο ν' ἀκούσει τόν δίκαιο λόγο νά τοῦ λέει «Ζητεῖτε καί δέν παίρνετε, γιατί ζητεῖτε μέ κακό τρόπο». Ζητεῖ λοιπόν ὁ θεῖος ἱεράρχης ὅσα ἔχει ὑποσχεθεῖ καί ἀγαπᾶ ὁ Θεός καί πού ὁπωσδήποτε θά δωρηθοῦν. Ἔτσι δείχνει στόν φιλάνθρωπο Θεό καί τή δική του ἀγαθή διάθεση καί φανερώνει στούς παρόντες μέ τή διδασκαλία του τά δῶρα πού θά λάβουν οἱ ὅσιοι. Ἔτσι οἱ ἱεράρχες ἔχουν καί τή δύναμη τοῦ ἀφορισμοῦ, ὡς ἑρμηνευτές τῶν θείων κρίσεων ὄχι γιατί ἡ πάνσοφη θεαρχία ἀκολουθεῖ σάν ὑπη-

ρέτης (μιλῶ μέ κάθε εὐλάβεια) τίς ἄλογες ὁρμές τους ἀλλά γιατί αὐτοί ἀφορίζουν σάν ἐκτελεστές μέ τήν ὑποκίνηση τοῦ τελεταρχικοῦ πνεύματος ὅσους ἔχει κρίνει ὁ Θεός σύμφωνα μέ τήν ἀξία τους. Λέει«Λάβετε τό Ἅγιο Πνεῦμα ἄν συγχωρήσετε σέ μερικούς τίς ἁμαρτίες τους, συγχωροῦνται ἄν σέ μερικούς τίς κρατεῖτε, κρατήθηκαν». Καί σ' ἐκεῖνον πού καταλάμπεται ἀπό τίς θεῖες ἀποκαλύψεις τοῦ πανάγιου Πατέρα λένε τά Λόγια «Ὅ,τι δεσμεύσεις ἐπάνω στή γῆ, θά εἶναι δεσμευμένο καί στούς οὐρανούς καί ὅ,τι λύσεις ἐπάνω στή γῆ θά εἶναι λυμένο καί στούς οὐρανούς». Γιατί ἐκεῖνος καί κάθε ὅμοιος μ' αὐτόν ἱεράρχης, σύμφωνα μέ τίς ἀποκαλύψεις τῶν πατρικῶν δικαιωμάτων πού ἔγιναν σ' αὐτόν ὡς ἑρμηνέα καί μεταλαμπαδευτή, δέχεται τούς φίλους στόν Θεό καί τούς ἄθεους τούς ἀποκληρώνει. Καί ὅπως λένε τά Λόγια, τήν ἱερή ἐκείνη θεολογία δέν τοῦ τήν ἀποκάλυψε ὁ ἑαυτός του οὔτε ἡ σάρκα καί τό αἷμα του ἀλλά μίλησε, ἀφοῦ ὁ Θεός τόν δίδαξε πνευματικά τά θεῖα. Οἱ ἔνθεοι λοιπόν ἱεράρχες ἔτσι πρέπει νά χρησιμοποιοῦν καί τούς ἀφορισμούς καί ὅλες τίς ἱεραρχικές δυνάμεις, ὅπως θά τούς ὠθήσει ἡ τελεταρχική θεαρχία. Καί οἱ ἄλλοι ἔτσι πρέπει νά προσέχουν τούς ἱεράρχες σέ ὅ,τι ὡς ἱεράρχες πράττουν ὡς ἀνθρώπους πού ὥθησε ὁ Θεός. «Ὅποιος δέ λογαριάζει ἐσᾶς, ἀθετεῖ ἐμένα».

§8. Ἀλλά ἄς ἐπιστρέψομε στά ἐπακόλουθα τῆς εὐχῆς πού εἴπαμε. Ὅταν τήν τελειώσει ὁ ἱεράρχης ἀσπάζεται καί ὁ ἴδιος τόν νεκρό καί μέ τή σειρά ὅλοι οἱ παρόντες ἀγαποῦν ὅλοι οἱ θεόμορφοι καί

τιμοῦν αὐτόν πού ἔχει τελειωθεῖ σύμφωνα μέ τή θεία ζωή. Μετά τόν ἀσπασμό χύνει ὁ ἱεράρχης τό λάδι στόν νεκρό. Μήν ξεχνᾶς ὅτι κατά τήν ἱερή θεία γέννησή μας πρίν ἀπό τό θεϊκὸ βάπτισμα δωρίζεται στόν τελούμενο ὡς πρώτη μέθεξη ἱεροῦ συμβόλου, μετά τήν ὁλική ἀφαίρεση τοῦ προηγούμενου φορέματος, τό λάδι τοῦ χρίσματος; Καί τώρα στό τέλος ὅλων τῶν ἄλλων χύνεται στόν νεκρό τό λάδι. Τότε τό χρίσμα μέ τό λάδι καλοῦσε τόν τελούμενο στούς ἱερούς ἀγῶνες, τό λάδι πού χύνεται τώρα δείχνει τόν νεκρό νά ἔχει ἀθλήσει καί νά ἔχει τελειωθεῖ κατά τούς ἱερούς ἀγῶνες.

§9.Ὅταν τά τελειώσει ὅλα αὐτά ὁ ἱεράρχης ἀποθέτει τό σῶμα σέ τόπο τιμητικό μέ ἄλλα ἱερά σώματα τῆς ἴδιας τάξης. Γιατί ἄν ὁ νεκρός ἔζησε μέ τήν ψυχή καί τό σῶμα τή θεάρεστη ζωή, θά εἶναι μαζί μέ τήν ὅσια ψυχή ἔντιμο καί τό σῶμα πού ἁγιάστηκε μαζί της στίς ἱερές προσπάθειες. Γι' αὐτό ἡ θεία δικαιοσύνη τῆς δωρίζει μαζί μέ τό σῶμα της τόν τόπο τῆς ἀνταμοιβῆς, γιατί ἦταν συνοδοιπόρο καί συμμέτοχο τῆς ὅσιας ἤ τῆς ἀντίθετης ζωῆς. Γι' αὐτό καί ἡ θεία νομοθεσία τῶν ἱερῶν δωρίζει καί στά δύο τίς θεαρχικές κοινωνίες στήν ψυχή μέ τήν καθαρή θεωρία καί τήν πλήρη γνώση ὅσων τελοῦνται στό σῶμα μέ τήν εἰκόνα τοῦ θεϊκοῦ μύρου καί τά ἱερότατα σύμβολα τῆς θεαρχικῆς κοινωνίας, ἁγιάζει τόν ἄνθρωπο στό σύνολό του πού ἱερουργεῖ ἀκέραιη τή σωτηρία του καί διακηρύττει ὅτι θά εἶναι ἡ ἀνάστασή του μέ καθολικούς ἁγιασμούς.

§10. Τίς ἐπικλήσεις τῶν τελετῶν δέν εἶναι θεμιτό νά τίς ἀποκρυπτογραφοῦμε μέ τίς Γραφές ἤ νά φέρνομε ἀπό τό κρυφό στό φανερό τίς ἐκ Θεοῦ δυνάμεις πού ἐνεργοῦν σ᾽ αὐτές. Ἀλλὰ ὅπως παραδίδει ἡ δική μας ἱερή παράδοση, ἀφοῦ τίς κατανοήσεις μέ ἀνανακοίνωτες μυήσεις κι ἀφοῦ τελειωθεῖς καί λάβεις θεϊκότερη ἕξη κι ἀνύψωση μ᾽ ἔρωτα θεῖο καί ἱερές ἐνέργειες, θ᾽ ἀναχθεῖς μέσω τοῦ τελεταρχικοῦ φωτισμοῦ στήν ὑπέρτατη, τέλεια γνώση τους.

§11. Τό νά μετέχουν τώρα καί τά παιδιά, πού δέν μποροῦν ἀκόμα νά καταλάβουν τά θεῖα, τήν ἱερή θεία γένησή μας καί τά ἱερότατα σύμβολα τῆς θεαρχικῆς μέθεξης, τό θεωροῦν οἱ μή πιστοί ἄξιο γιά δικαιολογημένα γέλια, ἀφοῦ οἱ ἱεράρχες προσπαθοῦν νά διδάξουν τά θεῖα σ᾽ αὐτούς πού δέν μποροῦν νά τά ἀκούσουν καί παραδίδουν τίς ἱερές παραδόσεις ἄδικα σ᾽ αὐτούς πού δέν καταλαβαίνουν κι ἀκόμα πιό γελοῖο τό ὅτι τίς ἀρνήσεις τίς κάνουν ἄλλοι γιά λογαριασμό τους καθώς καί τίς ἱερές ὑποσχέσεις. Ἐσύ σάν συνετός ἱεράρχης δέν πρέπει νά δυσανασχετεῖς μέ ὅσους πλανήθηκαν. Ἀλλά μ᾽ εὐλάβεια μαζί καί γιά χάρη τοῦ φωτισμοῦ τους νά δίνεις λόγο ἀγαπητικά στίς ἐνστάσεις πού προβάλλουν προτάσσοντας καί τοῦτο σύμφωνα μέ ἱερό θεσμό, ὅτι δέ χωρᾶνε στήν ἀνθρώπινη γνώση μας ὅλα τά θεῖα καί πολλά ἀπό ὅσα ἀγνοοῦμε ἔχουν θεϊκές αἰτίες πού ἐμεῖς δέν τίς ξέρομε, τίς ξέρουν ὅμως οἱ ἀνώτερές μας τάξεις. Πολλά ὅμως εἶναι ἄγνωστα καί στίς ὑπέρτατες οὐσίες καί μέ λεπτομέρειες εἶναι γνωστά μόνο στήν πάνσοφη

καί σοφοποιό θεαρχία. Μέ τή διαφορά, ὅτι καί γι' αὐτό λέμε τοῦτα, πού τά ἔφεραν σ' ἐμᾶς οἱ θεϊκοί μας ἱεροτελεστές διδαγμένοι ἀπό τήν ἀρχαία παράδοση. Λένε δηλαδή, πράγμα πού εἶναι καί ἀληθινό, ὅτι ὅταν τά βρέφη ἀνατρέφονται σύμφωνα μέ τόν ἱερό νόμο, θά φτάσουν σέ ἱερή κατάσταση καί δέ θά δοκιμάσουν καμιά πλάνη οὔτε θά ζήσουν ἀνίερη ζωή. Τοῦτο σκέφτηκαν οἱ θεῖοι καθοδηγοί μας κι ἀποφάσισαν νά δέχονται τά βρέφη μ' αὐτή τήν ἱερή διαδικασία οἱ φυσικοί γονεῖς του παιδιοῦ πού προσέρχονται νά τό παραδίδουν σ' ἕναν ἀπό τούς μυημένους στά θεῖα ἀγαθό παιδαγωγό καί στό ἑξῆς νά βρίσκεται τό παιδί στήν ὁδηγία του κι αὐτός θά εἶναι ὁ θεϊκὸς πατέρας καί ἀνάδοχος τῆς ἱερῆς σωτηρίας του. Ἀπό αὐτόν λοιπόν, πού ὁμολογεῖ ὅτι θά παιδαγωγήσει τό παιδί στήν ἱερή ζωή, ἀπαιτεῖ ὁ ἱεράρχης, νά ὁμολογήσει ὅτι ἀποτάσσεται καί νά κάνει τίς ἄλλες ἱερές ὁμολογίες, κι ὄχι βέβαια, ὅπως θά ἔλεγαν ἐκεῖνοι κοροϊδευτικά, ὅτι εἰσάγει στό μυστήριο ἄλλον ἀντί ἄλλου. Γιατί δέ λέει μήτε τοῦτο, ὅτι δηλαδή ἐγώ κάνω τίς ἀποταγές καί τίς ἱερές ὁμολογίες, ἀλλά ὅτι τό ἴδιο τό παιδί ἀρνεῖται ἐκεῖνα καί δέχεται αὐτά. Ἡ σημασία εἶναι ἡ ἑξῆς ὑπόσχομαι ὅτι θά πείσω τό παιδί νά φτάσει σέ ἱερές σκέψεις μέ τήν ἔνθεη διδασκαλία μου, ὅτι θ' ἀπομακρυνθεῖ ὁλότελα ἀπό τά ἀντίθετα καί θά ὁμολογήσει καί θά ἐκτελέσει τίς θεῖες ὑποσχέσεις. Νομίζω λοιπόν, ὅτι δέν εἶναι παράλογο ἄν τό παιδί παιδαγωγεῖται μέ θεῖα παιδαγωγία ἔχοντας ἕνα ἱερό καθοδηγό καί ἀνάδοχο, πού προξενεῖ μέσα του ἕξη τῶν θείων καί τόν φυλάγει μακριά

ἀπὸ τό νά δοκιμάσει τά ἀντίθετα. Ὁ ἱεράρχης μεταδίδει στό παιδί τά ἱερά σύμβολα, γιά νά ἀνατραφεῖ μέσα σ' αὐτά καί νά μήν ἔχει καμιά διαφορετική ζωή, παρά μόνο ἐκείνη πού ἔχει πάντοτε μπροστά της τά θεῖα καί τά μετέχει πάντοτε μέ ἱερή προκοπή, ἀποκτώντας ἱερή ἕξη σ' αὐτά καί κινούμενη ἱεροπρεπῶς ἀπό τόν θεόμορφο ἀνάδοχο.

Τόσο πολλά καί τόσο ὄμορφα φάνηκαν στά μάτια μου τά ἑνόμορφα θεάματα τῆς ἱεραρχίας μας ἄλλοι νόες μέ πιό μεγάλη ἀπό τή δική μου θεωρητική δύναμη δέν εἶδαν μόνο αὐτά ἀλλά καί πολύ πιό λαμπρά καί πιό θεόμορφα. Καί σέ σένα νομίζω θά λάμψουν φωτεινότερα κάλλη καί θεϊκότερα, χρησιμοποιώντας ὅσα εἶπα ὡς ἀναβαθμούς γιά ἀνώτερη ἀκτινοβολία. Μετάδωσε, φίλε μου, ὁ ἴδιος καί σ' ἐμένα τελειότερη λάμψη καί φανέρωσε στά μάτια μου ὀμορφιές πιό σεμνές καί πιό ἑνόμορφες. Ἔχω τὸ θάρρος ὅτι μέ ὅσα σοῦ εἶπα θ' ἀνασκαλέψω τούς σπινθῆρες πού ἔχεις μέσα σου τῆς θεϊκῆς φωτιᾶς».

8. *«Εἶπεν ὁ ἀββᾶς Μακάριος, ὅτι περιπατῶν ποτε εἰς τὴν ἔρημον, εὗρον κρανίον εἰς τὸ ἔδαφος νεκροῦ ἐῤῥιμμένον· καὶ σαλεύσας αὐτὸ τῇ βαΐνῃ ῥάβδῳ, ἐλάλησέ μοι τὸ κρανίον· καὶ λέγω αὐτῷ· σὺ τίς εἶ. ἀπεκρίθη μοι τὸ κρανίον· ἐγὼ ἤμην ἀρχιερεὺς τῶν εἰδώλων, καὶ τῶν μεινάντων Ἑλλήνων ἐν τῷ τόπῳ τούτῳ· σὺ δὲ εἶ Μακάριος ὁ πνευματοφόρος· οἵαν ὥραν σπλαγχνισθῇς τοὺς ἐν τῇ κολάσει, καὶ εὔχῃ περὶ αὐτῶν, παραμυθοῦνται ὀλίγον. λέγει αὐτῷ ὁ γέρων· ποῖα ἐστὶν ἡ παραμυθία, καὶ*

τίς ἡ κόλασις. λέγει αὐτῷ· ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτόν ἐστιν πῦρ ὑποκάτωθεν ἡμῶν, ἀπὸ ποδῶν ἕως κεφαλῆς ἑστηκότων ἡμῶν μέσον τοῦ πυρός· καὶ οὐκ ἔστι πρόσωπον πρὸς πρόσωπον θεάσασθαί τινα, ἀλλὰ τὸ πρόσωπον ἑκάστου πρὸς τὸν ἑτέρου νῶτον κεκόλληται. ὡς οὖν εὔχῃ ὑπὲρ ἡμῶν, ἐκ μέρους τις θεωρεῖ τὸ πρόσωπον τοῦ ἑτέρου· αὕτη ἐστὶν ἡ παραμυθία. καὶ κλαύσας ὁ γέρων εἶπεν· οὐαὶ τῇ ἡμέρᾳ ἐν ᾗ ἐγεννήθη ὁ ἄνθρωπος· λέγει αὐτῷ ὁ γέρων· ἔστιν ἄλλη χείρων βάσανος. λέγει αὐτῷ τὸ κρανίον· μειζοτέρα βάσανός ἐστιν ὑποκάτωθεν ἡμῶν. λέγει αὐτῷ ὁ γέρων· καὶ τίνες εἰσὶν ἐκεῖ. λέγει αὐτῷ τὸ κρανίον· ἡμεῖς ὡς μὴ εἰδότες τὸν Θεόν, κἂν ὀλίγον ἐλεούμεθα· οἱ δὲ ἐπιγνόντες τὸν Θεόν, καὶ ἀρνησάμενοι αὐτόν, ὑποκάτωθεν ἡμῶν εἰσι. καὶ λαβὼν ὁ γέρων τὸ κρανίον, ἔχωσεν αὐτό» (Μακαρίου Αἰγυπτίου, Ἀποφθέγματα, §38, PG 34, 257C-259A)

Δηλαδή: *«Εἶπε ὁ ἀββᾶς Μακάριος, ὅτι κάποτε καθώς περπατοῦσε στήν ἔρημο βρῆκε ἕνα κρανίο νεκροῦ πεσμένο στήν γῆ καί ἀφοῦ τό κούνησε μέ τό βάϊο (δηλ. ἀπό φοίνικα) ραβδί του τότε μίλησε στό κρανίο καί τοῦ εἶπε: Ἐσύ ποιός εἶσαι; Τότε τό κρανίο ἀπάντησε: Ἐγώ ἤμουν ἀρχιερέας τῶν εἰδώλων καί τῶν Ἑλλήνων (εἰδωλολατρῶν) πού ἀπέμειναν στόν τόπο αὐτό. Ἐσύ ὅμως εἶσαι ὁ Μακάριος πού φέρεις μέσα σου τό Πνεῦμα τοῦ Θεοῦ. Καί ὅποια ὥρα σπλαγχνισθεῖς αὐτούς πού βρίσκονται στήν κόλαση καί προσευχηθεῖς γι' αὐτούς ἀναπαύονται πνευματικά γιά λίγο. Τότε τοῦ λέει ὁ γέροντας Μακάριος: Ποιά εἶναι ἡ ἀνάπαυσή τους καί ποιά ἡ τι-*

μωρία τους; Καί τότε τοῦ ἀπαντᾶ τό κρανίο : Ὅσο ἀπέχει ὁ οὐρανός ἀπό τή γῆ, τόσο εἶναι τό πῦρ ἀπό κάτω μας, ἐνῶ στεκόμαστε μέσα στό πῦρ ἀπό τά πόδια ἕως τό κεφάλι καί δέν εἶναι δυνατό νά δεῖ κανείς τόν ἄλλο πρόσωπο μέ πρόσωπο, ἀλλά τό πρόσωπο τοῦ καθενός εἶναι κολλημένο πρός τήν πλάτη τοῦ ἄλλου. Ὅταν λοιπόν ἐσύ πρσεύχεσαι γιά μᾶς, τότε βλέπει κανείς λίγο τό πρόσωπο τοῦ ἄλλου. Αὐτή εἶναι ἡ ἀνάπαυση. Καί κλαίγοντας ὁ γέροντας Μακάριος εἶπε: Ἀλίμονο στήν μέρα πού γεννήθηκε ὁ ἄνθρωπος ἄν αὐτή εἶναι ἡ ἀνάπαυση ἀπό τήν τιμωρία. Τοῦ λέει τότε ὁ Γέροντας Μακάριος: Ὑπάρχει ἄλλη βάσανος χειρότερη;Τότε τοῦ ἀπαντᾶ τό κρανίο: Μεγαλύτερη καί χειρότερη βάσανος εἶναι αὐτή πού βρίσκεται ἀπό κάτω μας. Τοῦ λέει τότε ὁ Γέροντας: Καί ποιοί βρίσκονται ἐκεῖ; Τοῦ ἀπαντᾶ τό κρανίο: Ἐμεῖς μέ τήν δικαιολογία ὅτι δέν γνωρίσαμε τόν Θεό, ἐλεούμαστε λίγο τουλάχιστον, ἐνῶ ἐκεῖνοι πού εἶχαν γνωρίσει τόν Θεό καί Τόν ἔχουν ἀρνηθεῖ, βρίσκονται ἀπό κάτω μας. Καί ἀφοῦ πῆρε τό κρανίο στά χέρια του τό ἔθαψε στήν γῆ».

9. *«Γρηγόριος ὁ Διάλογος, ὁ τῆς πρεσβυτέρας Ῥώμης, ἀνήρ, ὡς ἴσασι πάντες, ἐν ἁγιωσύνῃ καί γνώσει ἐξάκουστο, ᾧ, φασί, λειτουργοῦντι οὐράνιος συνελειτούργει, καί θεῖος ἄγγελος. Οὗτός ποτε ἀνὰ τὴν λίθινον πορείαν ποιούμενος, καὶ στὰς ἐξεπίτηδες, εὐχὴν κραταιὰν πρὸς τὸν φιλόψυχον Κύριον ὑπὲρ συγχωρήσεως ἁμαρτιῶν Τραϊανοῦ τοῦ βασιλέως πεποίηκεν· ὅς παραυτίκα φωνῆς θε-*

όθεν ἐνεχθείσης αὐτῷ ἐπακήκοε ταῦτα φησάσης «Τῆς εὐχῆς σου, φησίν, ἐπήκουσα, καὶ συγγνώμην Τραϊανῷ δίδωμι· σὺ δὲ μηκέτι προσθῇς ὑπὲρ ἀσεβῶν προσενέγκαι μοι» (Ἰωάννου Δαμασκηνοῦ, Περί τῶν ἐν πίστει κεκοιμημένων, ὅπως αἱ ὑπέρ αὐτῶν γινόμεναι λειτουργίαι καί εὐποιΐαι τούτους ὀνίνησιν PG 95, 261D-264A)

Δηλαδή: *«Ὁ Γρηγόριος ὁ Διάλογος ἄνδρας πού ἔζησε στήν παλαιά Ρώμη, ὅπως ὅλοι γνωρίζουν μέ ἁγιότητα καί ξακουστή γνώση, ὅπως ἀναφέρουν σέ κάποια θεία Λειτουργία συλλειτουργοῦσε μαζί μέ οὐράνιο θεῖο ἄγγελο. Αὐτός κάποτε σέ ἕνα λιθόστρωτο περπατοῦσε καί πρός τόν φιλόψυχο Κύριο προσευχόταν γιά τήν συγχώρηση τῶν ἁμαρτιῶν τοῦ Βασιλιά Τραϊανοῦ. Ἀμέσως ἀκούστηκε θεία φωνή πού ἄκουσε τήν προσευχή του καί τοῦ εἶπε: Τήν προσευχή σου ἄκουσα καλά καί τήν συγχωρησή μου στόν Τραϊανό δίνω ἀλλά μή μοῦ ἀπευθύνεις ἄλλη φορά προσευχή γιά ἀσεβεῖς».*

10. *«Ἐνθέρμως δ' ἱκετεύσασα τοὺς θεσπεσίους ἄνδρας ὑπὲρ τοῦ συζυγήσαντος λιτάσασθαι τὸ θεῖον, καὶ πείσασα καὶ πίστωσιν τελείαν δεξαμένη ὡς τῶν βασάνων τῶν ἐκεῖ Θεόφιλος ἐρρύσθη, ὁμόδειπνος ἐγένετο τοῖς ἱεροῖς ἀνδράσιν ἁβρὰν λιπαροτράπεζαν ἑστίασιν τελοῦσα»* (Κωνσταντίνου τοῦ Μανασσῆ, Σύνοψις Χρονική, ἀρχομένη ἀπό κοσμοποιΐας μέχρι τοῦ κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου, PG 127, 407A).

«Τὸν Μιχαὴλ ὁ Θηριώδης Λέων ὁ Ἀρμένιος διαδέχεται· ὅς, ὑπὸ μοναχοῦ τινος ἐγκλείστου καὶ

δυσσεβοῦς δόλῳ διαφθαρείς, τὴν δευτέραν εἰκονομαχίαν ἐγείρει, καὶ πάλιν ἄκοσμος ἡ τοῦ Θεοῦ Ἐκκλησία γνωρίζεται. Τοῦτον ὁ Ἀμοραῖος διαδέχεται Μιχαὴλ τὸν δὲ πάλιν Θεόφιλος ὁ υἱός, τῆς κατὰ εἰκόνων μανίας τοὺς λοιποὺς ἐν δευτέρῳ θέμενος. Οὗτος οὖν ὁ Θεόφιλος, πολλοὺς τῶν ἁγίων πατέρων ποιναῖς καὶ κολάσεσιν ἀλλοκότοις ἐκδεδωκώς, ὑπὲρ εἰκόνων δηλαδὴ τῶν σεπτῶν, δικαιοσύνης τε ὡς ἐπὶ μᾶλλον ἀντεποιεῖτο, ὡς ζητήσαντα ποτέ, εἴ τίς ἐστιν ἐν τῇ πόλει δι᾽ ὄχλου ἑτέρῳ γινόμενος, μηδένα ἐπὶ πολλαῖς, ὡς φασί, ταῖς ἡμέραις εὑρεῖν. Ἐπεὶ δέ, δυωκαίδεκα αὐταρκήσας ἐνιαυτοὺς καὶ δυσεντερίας νόσῳ κατασχεθείς, διαρρήσεσθαι τῆς ζωῆς ἔμελλε, τὸ στόμα αὐτοῦ λίαν ἀνέῳγεν, ὡς καὶ αὐτὰ τὰ ἔγκατα ἔνδοθεν διαφαίνεσθαι. Ἡ δ᾽ αὐγούστα Θεοδώρα, περιαλγὴς τῷ συμβεβηκότι γενομένη, μόλις πρὸς ὕπνον τρέπεται καὶ ὄναρ ὁρᾷ τὴν ἄχραντον Θεοτόκον, βρέφος ἐνηγκαλισμένην τὸ προαιώνιον, ὑπὸ λαμπρῶν περιστοιχιζομένην ἀγγέλων, Θεόφιλόν δὲ τὸν ταύτης εὐνέτην ὑπ᾽ αὐτῶν μαστιζόμενον καὶ ὀνειδιζόμενον. Ὡς οὖν ἀνῆκε ταύτην ὁ ὕπνος, καὶ Θεόφιλος μικρὸν ἀπαναγαγὼν ἐξεβόησεν· Οὐαί μοι τῷ ἀθλίῳ! διὰ τὰς ἁγίας εἰκόνας μαστίζομαι. Αὐτίκα τίθησιν ἐπάνω αὐτοῦ τὴν τῆς Θεοτόκου εἰκόνα ἡ βασιλίς, δεομένη ταύτης σὺν δάκρυσιν. Ὅ γε μὴν Θεόφιλος, καίπερ οὕτως ἔχων, ἰδών τινα τῶν περιεστώτων ἐγκόλπιον φέροντα, δραξάμενος αὐτοῦ κατησπάζετο· καὶ αὐτίκα τὸ κατὰ τῶν εἰκόνων φρυάξαν στόμα καὶ ὁ ἀναίδην κεχηνὼς λάρυγξ εἰς τὴν προτέραν ἕξιν μετε-

σκευάζετο, καὶ τῆς συνεχούσης ἀνάγκης καὶ βίας ἐπαύσατο καὶ ὕπνωσε, καλὸν εἶναι ὁμολογήσας τὸ τὰς ἁγίας εἰκόνας τιμᾶσθαί τε καὶ σεβάζεσθαι. Ἐξενέγκασα τοίνυν ἡ βασιλὶς ἐκ τῶν αὐτῆς κιβωτίων τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας, ἀσπάζεσθαι καὶ ὅλῃ ψυχῇ τιμᾶν τὸν Θεόφιλον παρεσκεύασε. Μετὰ μικρὸν οὖν ἐκλείπει τὸ ζῆν ὁ Θεόφιλος. Ἡ δὲ Θεοδώρα τοὺς ἐν ὑπερορίᾳ καὶ φυλακαῖς πάντας ἀνακαλεσαμένη ἐν ἀδείᾳ διάγειν ἐκέλευσε. Καὶ κατασπᾶται μὲν τοῦ πατριαρχικοῦ θρόνου Ἰωάννης, ὁ καὶ Ἰαννῆς, ὁ μαντιάρχης καὶ δαιμονιάρχης μᾶλλον ἢ πατριάρχης. Ὁ δὲ τοῦ Χριστοῦ ὁμολογητὴς Μεθόδιος ἄνεισι τοῦτον, πολλὰ παθὼν πρότερον καὶ ἐν τάφῳ ζῶν καθειρχθείς.

Τούτων δὲ οὕτως ἐχόντων, ἐπίσκεψίς τις γίνεται θεία Ἰωαννικίῳ τῷ μεγάλῳ, ἐν τοῖς τοῦ Ὀλύμπου ὄρεσιν ἀσκουμένῳ· ὁ γὰρ μέγας ἀσκητὴς Ἀρσαάκιος γενόμενος πρὸς αὐτόν, ὁ Θεός με πρὸς σὲ ἀπέστειλε, λέγει, ὡς ἂν πρὸς τὸν ὁσιώτατον ἄνδρα Ἡσαΐαν τὸν ἔγκλειστον ἐν Νικομηδείᾳ ἐλθόντες, παρ᾽ αὐτοῦ μάθωμεν ὅσα φίλα Θεῷ καὶ ἁρμόζοντα τῇ αὐτοῦ Ἐκκλησίᾳ. Καὶ δή, πρὸς τὸν ὁσιώτατον Ἡσαΐαν γενόμενοι, ἀκούουσι παρ᾽ αὐτοῦ· Τάδε λέγει Κύριος· Ἰδοὺ ἤγγικε τὸ τέλος τῶν ἐχθρῶν τοῦ ἐμοῦ ἐκτυπώματος· ὑμεῖς οὖν πρὸς τὴν βασίλισσαν Θεοδώραν, ἀλλὰ δὴ καὶ πρὸς τὸν πατριάρχην γεγονότες Μεθόδιον, λέξατε οὕτω· Παῦσον πάντας τοὺς ἀνιέρους, καὶ οὕτω σὺν ἀγγέλοις θυσίαν μοι προσενέγκοις, μορφῆς ἐμῆς τὴν εἰκόνα καὶ τοῦ Σταυροῦ σεβαζόμενος. Ταῦτα ἀκούσαντες, τὴν Κωνσταντίνου

εὐθέως καταλαμβάνουσι καὶ τὰ εἰρημένα Μεθοδίῳ τῷ πατριάρχῃ καὶ τοῖς ἐκλεκτοῖς ἅπασι τοῦ Θεοῦ καταγγέλλουσιν. Οἱ δ᾽ ἀθροισθέντες πρὸς τὴν βασίλισσαν παραγίνονται καὶ καταπειθῆ ταύτην ἐν πᾶσιν εὑρίσκουσιν· ἐκ πατέρων γὰρ ἦν εὐσεβὴς καὶ φιλόθεος. Αὐτίκα τοίνυν ἡ βασιλίς, τὴν τῆς Θεοτόκου εἰκόνα τοῦ τραχήλου ἀπῃωρημένην ἐξενεγκοῦσα, πάντων ὁρώντων, ἠσπάζετο λέγουσα· Εἴ τις ταύτας οὐ προσκυνεῖ καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς θεούς, ἀλλ᾽ ὡς εἰκόνας τῶν ἀρχετύπων, διὰ τὸν πόθον, εἴη τὸ ἀνάθεμα. Οἱ δὲ μεγάλην χαρὰν ἐχάρησαν. Ἀνταιτεῖται δὲ καὶ αὕτη αὐτούς, ὡς ἂν δέησιν ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς Θεοφίλου ποιήσωσιν. Οἱ δέ, τὴν πίστιν αὐτῆς ἰδόντες, καί περ ἀπαναινόμενοι, πείθονται δ᾽ ὅμως. Καὶ δὴ ὁ ἐν ἁγίοις Μεθόδιος, τὸν λαὸν πάντα συναγαγὼν καὶ τὸν κλῆρον ἅπαντα καὶ τοὺς ἀρχιερεῖς ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἐκεῖσε παραγίνεται, ἐν οἷς ἦσαν καὶ οἱ λογάδες οὗτοι οἱ ἐξ Ὀλύμπου, ὁ μέγας Ἰωαννίκιος καὶ Ἀρσαάκιος, Ναυκράτιός τε καὶ οἱ μαθηταὶ Θεοδώρου τοῦ Στουδίτου καὶ ὁ τοῦ Μεγάλου Ἀγροῦ Θεοφάνης καὶ Θεόδωρος οἱ γραπτοὶ καὶ ὁμολογηταί, Μιχαὴλ ὁ ἁγιοπολίτης καὶ σύγκελλος καὶ ἄλλοι πλεῖστοι, δέησιν ὁλονύκτιον ὑπὲρ Θεοφίλου ποιοῦνται πρὸς τὸν Θεόν, πάντων εὐχομένων μετὰ δακρύων καὶ συντόνου δεήσεως· καὶ τοῦτο δι᾽ ὅλης τῆς πρώτης ἑβδομάδος ἐπετελεῖτο τῶν νηστειῶν, καὶ αὐτῆς τῆς βασιλίσσης Θεοδώρας τὰ αὐτὰ ταῦτα μετὰ γυναίων καὶ τοῦ λοιποῦ διαπραττομένης λαοῦ.

Τούτων δὲ οὕτως ἐχόντων, Θεοδώρα ἡ βασιλὶς περὶ ὄρθρον αὐγάζοντα τῆς Παρασκευῆς εἰς ὕπνον τραπεῖσα, ἔδοξεν εὑρεθῆναι παρὰ τὸν κίονα τοῦ Σταυροῦ, καί τινας μετὰ θορύβου διερχομένους τὴν ὁδὸν παριέναι, διάφορα κολαστηρίων ὄργανα περιφέροντας μέσον δὲ αὐτῶν ἀγόμενον δέσμιον καὶ τὸν βασιλέα Θεόφιλον, ὄπισθεν παρηγκωνισμένον τὰς χεῖρας· τοῦτον δὲ γνωρίσασα, συνείπετο καὶ αὐτὴ τοῖς ἀπάγουσιν. Ἐπεὶ δὲ ἄχρι τῆς Χαλκῆς πύλης ἔφθασαν, εἶδεν ὑπερφυῆ τὴν ὄψιν ἄνδρα τινά, καθήμενον ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ· οὗ κατέναντι τὸν Θεόφιλον ἔστησαν. Τούτου δὲ τῶν ποδῶν ἁψαμένη ἡ βασιλίς, ὑπὲρ τοῦ βασιλέως ἱκέτευεν. Ὁ δέ, μόλις ἀνοίξας τὸ στόμα, Μεγάλη σου ἡ πίστις, γύναι, φησί· γίνωσκε οὖν ὡς διὰ τὰ δάκρυά σου καὶ τὴν πίστιν, ἔτι δὲ καὶ διὰ τὴν παράκλησιν καὶ ἱκεσίαν τῶν δούλων μου καὶ τῶν ἱερέων μου, συγγνώμην δίδωμι Θεοφίλῳ τῷ ἀνδρί σου. Εἶτα λέγει καὶ τοῖς ἀνδράσι· Λύσατε αὐτὸν καὶ παράδοτε τῇ γυναικὶ αὐτοῦ. Ἡ δὲ τοῦτον λαβοῦσα ὑπεχώρησεν ἀγαλλιωμένη καὶ χαίρουσα· καὶ αὐτίκα ὁ ὕπνος ταύτην ἀνίησι. Καὶ ταῦτα μὲν Θεοδώρα ἡ βασιλὶς ἐθεάσατο.

Ὁ δὲ πατριάρχης Μεθόδιος, τῶν εὐχῶν καὶ δεήσεων ὑπὲρ αὐτοῦ γινομένων, χάρτην καινὸν λαβών, ἔγραψεν ἐν αὐτῷ πάντων τῶν αἱρετικῶν βασιλέων τὰ ὀνόματα, ἐντάξας καὶ αὐτοῦ τοῦ Θεοφίλου, καὶ ὑποκάτω τῆς ἁγίας Τραπέζης λαβὼν ἅπαντα ἔθετο. Περὶ δὲ τὴν Παρασκευὴν ὁρᾷ καὶ αὐτὸς ἄγγελόν τινα φοβερὸν τὸν μέγαν εἰσιόντα νεὼν καὶ πρὸς αὐτὸν γενόμενον φάναι λέγεται·

Εἰσηκούσθη ἡ δέησίς σου, ἐπίσκοπε, καὶ συγγνώμης ἔτυχεν ὁ βασιλεὺς Θεόφιλος· μηκέτι οὖν περὶ αὐτοῦ διενόχλει τὸ Θεῖον. Ὁ δὲ πειρώμενος εἰ ἀληθὲς τὸ ὁρώμενον, τῆς στάσεως ὑποβὰς καὶ τὸν χάρτην λαβὼν καὶ ἀνελιξάμενος, εὗρεν, ὢ Θεοῦ κριμάτων! ἀπαληλιμμένον θεόθεν παντάπασι τὸ τοῦ Θεοφίλου ὄνομα» (Ἀπόσπασμα τοῦ Συναξαρίου τῆς Α΄ Κυριακῆς τῶν Νηστειῶν, Τριώδιον, Ἔκδοσις τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐκδ. Δ΄ (νέα ἐπιμέλεια), Ἀθήνα 2014 σ. 332-334).

11. *«Οἴεσθέ με ἴσως, ὦ φίλοι καὶ ἀδελφοὶ καὶ πατέρες, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, θρήνους ἐπιβαλοῦντα τῷ ἀπελθόντι καὶ ὀδυρμούς, ὑποδέχεσθαι προθύμως τὸν λόγον, ἢ μακροὺς ἀποτενοῦντα καὶ κομψοὺς λόγους, οἷς οἱ πολλοὶ χαίρουσι· καὶ οἱ μὲν ὡς συμπενθήσοντες καὶ συνθρηνήσοντες παρεσκεύασθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ οἰκεῖα δακρύσητε, ὅσοις τι τοιοῦτόν ἐστι, καὶ σοφίσησθε τὸ ἀλγοῦν ἐν φιλικοῖς πάθεσιν, οἱ δὲ ὡς τὴν ἀκοὴν ἑστιάσον τες, καὶ ἡδίους ἐσόμενοι· χρῆναι γὰρ ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τὴν συμφοράν, οἷά ποτε ἦν τὰ ἡμέτερα, ἡνίκα τἄλλα ἦμεν ἱκανῶς περιττοὶ καὶ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμοι, πρὶν ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἀνωτάτω, καὶ πάντα δόντες Θεῷ παρ' οὗ τὰ πάντα, Θεὸν ἀντὶ πάντων λαβεῖν. Μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴ τι ὑπολαμβάνειν βούλεσθε δεξιόν. Οὔτε γὰρ θρηνήσομεν τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵ γε μηδὲ τῶν ἄλλων τὰ*

τοιαῦτα ἀποδεχόμεθα, οὔτε ἐπαινεσόμεθα πέρα τοῦ μέτρου· καίτοι γε δῶρον φίλον καὶ οἰκειότατον, εἴπερ τι ἄλλο, τῷ λογίῳ λόγος, καὶ τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους ἡ εὐφημία· καὶ οὐ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον· ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα νόμον, καὶ δακρύσαντες καὶ θαυμάσαντες (οὐδὲ γὰρ τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας· Μνήμη τε γὰρ δικαίων μετ' ἐγκωμίων· καί· Ἐπὶ νεκρῷ, φησί, κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου· ἴσον ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας)· τὸ μετὰ τοῦτο ἤδη, τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξομεν, καὶ τοῦ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσομεν, καὶ τὴν ὀφειλομένην τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν, καὶ μεταθήσομεν τὴν λύπην ἀπὸ τῆς σαρκὸς καὶ τῶν προσκαίρων ἐπὶ τὰ πνευματικὰ καὶ ἀΐδια...

Τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτα. Εἰ δὲ μικρὰ καὶ τῆς ἀξίας ἐλάττω, καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν. Καὶ τὰ μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν, τὰς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε τῷ βίῳ περιλειπόμενοι. Σὺ δὲ ἡμῖν οὐρανοὺς ἐμβατεύοις, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ ἐν κόλποις Ἀβραάμ, οἵτινες δὴ οὗτοί εἰσιν, ἀναπαύσαιο, καὶ ἀγγέλων ἐποπτεύοις χορείαν, καὶ μακαρίων ἀνδρῶν δόξας τε καὶ λαμπρότητας· μᾶλλον δὲ συγχορεύοις καὶ συναγάλλοιο πάντα διαγελῶν τὰ τῇδε ἀφ' ὕψους, τούς τε καλουμένους πλούτους καὶ τὰς ἐρριμμένας ἀξίας, καὶ τὰς ψευδομένας τιμάς, καὶ τὴν διὰ τῶν αἰσθήσεων πλάνην, καὶ τὴν τοῦ βίου

τούτου περιφοράν, καὶ τὴν ὥσπερ ἐν νυκτομαχίᾳ σύγχυσίν τε καὶ ἄγνοιαν, βασιλεῖ τῷ μεγάλῳ παριστάμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος· οὗ μικρὰν ἀπορροὴν ἐντεῦθεν δεξάμενοι, ὅσον ἐν ἐσόπτροις φαντάζεσθαι καὶ αἰνίγμασιν, αὐτῇ τῇ πηγῇ τοῦ καλοῦ μετὰ ταῦτα ἐντύχοιμεν, καθαρῷ νῷ καθαρὰν τὴν ἀλήθειαν ἐποπτεύοντες, καὶ τοῦτον μισθὸν εὑρίσκοιμεν τῆς περὶ τὸ καλὸν ἐνταῦθα φιλοπονίας, τὴν τελεωτέραν ἐκεῖσε τοῦ καλοῦ μετουσίαν καὶ θεωρίαν· ὅπερ δὴ τῆς ἡμετέρας τέλος μυσταγωγίας βίβλοι τε καὶ ψυχαὶ θεολόγοι θεσπίζουσιν» (Γρηγορίου Θεολόγου, Εἰς Καισάριον τόν ἑαυτοῦ ἀδελφόν ἐπιτάφιος, περιόντων ἔτι τῶν γονέων, PG 35, 756A-757A, 776C)

Δηλαδή: *«Νομίζετε ἴσως, φίλοι ἀδελφοί καί Πατέρες ὀνόματα καί ὑπάρξεις γλυκειές, ὅτι παίρνω πρόθυμα τόν λόγο γιά νά ἀπευθύνω θρήνους σ' αὐτόν πού μᾶς ἔφυγε καί ὀδυρμούς, ἤ νά συνθέσω λόγους μακρούς καί κομψούς, μέ τούς ὁποίους εὐχαριστοῦνται οἱ πολλοί. Καί γι' αὐτό ἤρθατε. Ἄλλοι νά μοιρασθεῖτε τό πένθος μας καί νά θρηνήσετε μαζί μας γιά νά κλάψετε τήν δική σας συμφορά μέσα στήν δική μας σ' ὅσους συμβαίνει κάτι παρόμοιο καί νά διδαχεθεῖτε τόν πόνο σέ παθήματα φίλων. Ἄλλοι γιά νά ἱκανοποιήσετε τήν ἀκοή σας καί νά δοκιμάσετε εὐχαρίστηση. Ἡ ζωή μας ἦταν κάποτε συμφορά ὅταν ἐπιδιώκαμε τό περιττό καί ἡ φιλοξενία μας περιοριζότανε στούς λόγους. Καί θά ἔπρεπε νά κάνουμε ἐπίδειξη τῆς συμφορᾶς μας προτοῦ στρέψουμε τά βλέμματα πρός τόν ἀληθινό λόγο στόν οὐρανό καί προτοῦ λάβουμε σ'*

ἀντάλλαγμα ὅλων τόν Θεό, παραχωρώντας τά πάντα στόν Θεό, ἀπό τόν ὁποῖο προέρχονται τά πάντα. Τώρα καθόλου μήν τό σκεφθεῖτε αὐτό γιά μᾶς, ἐάν θέλετε νά σκεφθεῖτε κάτι ὀρθό. Δέν θά θρηνήσουμε αὐτόν πού ἔφυγε-εἶναι περισσότερο ἀπό καλά ἐκεῖ- ἀφοῦ μήτε στούς ἄλλους δέν ἐπιδοκιμάζουμε τούς θρήνους. Οὔτε νά τό ἀπαινέσουμε πέρα ἀπό τό ὀρθό καί τό μέτρο ἄν καί εἶναι δῶρο δεκτό καί πρόσφορο –περισσότερο ἀπό κάθε ἄλλο– στούς φίλους τῶν λόγων ὁ λόγος, καί σ' ἐκεῖνον πού ἀγάπησε ξεχωριστά τούς λόγους μου ὁ ἔπαινος. Καί δέν εἶναι μόνο δῶρο ἀλλά καί ὀφειλή δικαιοτέρα ἀπό κάθε ἄλλη. Μέ μέτρο θά τιμήσουμε τήν σχετική συνήθεια καί στό κλάσμα καί στόν θαυμασμό. Δέν εἶναι τοῦτο ξένο καί στίς δικές μας ἀντιλήψεις. Τό μνημόσυνο τῶν δικαίων νά γίνεται μέ ἐγκώμια (Παροιμιῶν ι΄, 7). Καί στό νεκρό μᾶς λέγει «χύνετε δάκρυα, καί ὅταν ὑποφέρεις ἄρχισε τόν θρῆνο». Μᾶς τοποθετεῖ ἔτσι στό μέσο τῆς ἀναισθησίας καί τῆς ὑπερβολῆς. Ἔπειτα ἀπό αὐτό θά παρουσιάσουμε τήν ἀδυναμία τῆς ἀνθρώπινης φύσεως, θά ὑπενθυμίσουμε τήν ἀξία τῆς ἀνθρώπινης ψυχῆς, θά προσθέσουμε τήν παρηγορία πού ὀφείλουμε σ' ὅσους ὑποφέρουν καί θά μεταφέρουμε τήν λύπη ἀπό τά σαρκικά καί τά πρόσκαιρα στά πνευματικά καί αἰώνια...Τέτοια ἔχουμε νά σοῦ προσφέρουμε. Ἄν εἶναι μικρά καί κατώτερα ἀπό ὅ, τι σοῦ πρέπουν, τό κατά δύναμη εἶναι ἀγαπητό στόν Θεό. Ἕνα μέρος ἀπό αὐτό σοῦ προσφέραμε, σοῦ ὑποσχόμαστε τό ὑπόλοιπο, τίς τιμητικές προσφορές καί τά μνημόσυνα, ἐμεῖς

πού ἔχουμε ἀπομείνει στήν ζωή. Ἐσύ ὅμως τώρα βρίσκεσαι στούς οὐρανούς, θεῖο καί ἱερό πνεῦμα, μέσα στούς κόλπους τοῦ Ἀβραάμ ἀσύλληπτους γιά μᾶς. Ἀναπαύσου καί παρακολούθησε τόν χορό τῶν Ἀγγέλων καί τῶν δικαίων τήν δόξα καί τήν λαμπρότητα. Ἤ μᾶλλον θά μετέχεις καί ἐσύ στόν χορό καί τήν ἴδια θά νιώθεις χαρά καί θά γελᾶς μέ ὅλα τά δικά μας ἀπό τό ὕψος τοῦ οὐρανοῦ μέ ὅ, τι ἀποκαλοῦμε πλούτη, μέ τά ἀσήμαντα ἀξιώματα, τίς ψεύτικες τιμές, τήν ἀπάτη τῶν αἰσθήσεων, τό γύρισμα τῆς ζωῆς αὐτῆς, τήν σύγχυσή μας καί τήν ἄγνοια, καθώς σέ νυκτερινή μάχη. Θά εἶσαι στό πλάϊ τοῦ Μεγάλου Βασιλείου ὡς καταπλημμυρισμένος ἀπό τό ἐκεῖ φῶς. Αὐτοῦ τοῦ φωτός λίγο ἀντιφέγκισμα δεχθήκαμε καί ἐμεῖς ἀπό ἐκεῖ ὅσο νά διακρίνουμε ἀνάμεσα ἀπό καθρέφτες καί αἰνίγματα καί παρακαλοῦμε ἔπειτα ἀπό τήν ζωή αὐτή νά συναντήσουμε τήν ἴδια τήν πηγή τοῦ φωτός, ἀντικρύζοντες μέ καθαρό νοῦ τήν καθαρά ἀλήθεια. Θά εἶναι αὐτός ὁ μισθός μας γιά τήν φιλόπονη ἐδῶ ἐπιδίωξη τοῦ καλοῦ ἡ πλήρης μετοχή ἐκεῖ στό καλό καί ἡ θέα, πού τά ἱερά μας βιβλία καί οἱ μῦστες τοῦ θείου ὁρίζουν ὡς κατάληξη τῆς ψυχικῆς μας πορείας».

12. *«Κλαίωμεν οὖν τούτους, βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν, ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μέν, βοηθεῖν δὲ ὅμως δυναμένην. Πῶς καὶ τίνι τρόπῳ. αὐτοί τε εὐχόμενοι, καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. Ἔχει τινὰ τὸ*

πρᾶγμα παραμυθίαν· ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαυῒδ τὸν δοῦλόν μου. Εἰ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γένηται ὑπὲρ αὐτοῦ, πῶς οὐκ ἰσχύσει. Οὐκ εἰκῆ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων· ἴσασιν αὐτοῖς πολὺ κέρδος γινόμενον, πολλὴν τὴν ὠφέλειαν. Ὅταν γὰρ ἑστήκῃ λαὸς ὁλόκληρος χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικόν, καὶ προκέηται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν ὑπὲρ τούτων τὸν Θεὸν παρακαλοῦντες» (Ἰωάννου Χρυσοστόμου, Ὑπόμνημα εἰς τήν πρός Φιλιππησίους ἐπιστολή, PG 62, 204).

Δηλαδή: *«Ἄς κλαίουμε λοιπόν αὐτούς, ἄς τούς βοηθήσουμε ὅσο μποροῦμε, ἄς ἐπινοήσουμε γι' αὐτούς κάποια βοήθεια, μικρή μέν ἱκανή ὅμως νά βοηθήσει. Πῶς καί μέ ποιό τρόπο; Καί οἱ ἴδιοι νά προσευχόμαστε, νά προτρέπουμε καί ἄλλους νά προσεύχονται γι' αὐτούς, νά δίνουμε συνεχῶς στούς φτωχούς πρός ὠφέλειά τους. Τό πρᾶγμα ἔχει κάποια παρηγοριά. Διότι ἄκουε τόν Θεό πού λέει: Θά ὑπερασπίζω τήν πόλη αὐτή πρός χάρη μου καί πρός χάρη τοῦ Δαυῒδ τοῦ δούλου μου» (Δ΄ Βασιλειῶν κ΄, 6). Ἐάν ἡ ἀνάμνηση μόνο τοῦ δικαίου ἔχει τόση δύναμη, ὅταν γίνονται καί ἔργα γι' αὐτόν, πῶς δέν θά ἔχει δύναμη; Δέν θεσπίστηκαν αὐτά τυχαῖα ἀπό τούς Ἀποστόλους, τό νά θυμόμαστε δηλαδή αὐτούς πού ἀπῆλθαν ἀπό τήν ζωή κατά τήν διάρκεια τῶν φρικτῶν μυστηρίων. Γνωρίζουν ὅτι γίνεται γι' αὐτούς πολύ κέρδος, πολύ*

ὠφέλεια. Διότι ὅταν στέκεται ὁλόκληρος λαός μέ τά χέρια ὑψωμένα, τό ἱερατικό πλήρωμα καί τελεῖται ἡ φοβερή θυσία, πῶς δέν θά καθικετεύσουμε τόν Θεό προσευχόμενοι γι' αὐτούς;»

13. *«Εἰ καὶ ὁπηνίκα τελευταῖα διατυποῖς, γράψον μετὰ τῶν συγγενῶν ἢ φίλων τὴν ἀποδημοῦσαν τοῦ βίου ψυχήν· δὸς αὐτῇ κἂν μικρὰ τῆς ἀνάγκης ἐφόδια· ἐχέτω τοῦ δικαστοῦ τὸ ὄνομα τῆς διαθήκης τὰ γράμματα· μνήμης πτωχοῦ μὴ ἀμοιρείτω ὁ χάρτης»* (Ἰωάννου Χρυσοστόμου, Εἰς τήν παραβολήν τῶν δέκα παρθένων, καί περί ἐλεημοσύνης, PG 59, 531)

Δηλαδή: *«Ἀλλά καί ὅταν διατυπώσεις τά τελευταῖα λόγια σου στήν διαθήκη σου στό τέλος τῆς ζωῆς σου νά θυμηθεῖς τούς συγγενεῖς σου καί τούς φίλους σου. Μήν ξεχάσεις νά δώσεις τά ἀναγκαῖα ἐφόδια στήν ψυχή σου. Ἄς ὑπάρχει τό ὄνομα τοῦ συντάκτη τῆς διαθήκης μήν ξεχάσεις ὅμως νά θυμηθεῖς καί τούς φτωχούς σ' αὐτή».*

14. *«Ὅτι κἂν εἰς ἀστέρα ὁ ἐν εὐσεβείᾳ τελειωθεὶς κατατεθῇ, μὴ ἀπαναίνου ἔλαιον καὶ κηρούς, Χριστὸν τὸν Θεὸν ἐπικαλεσάμενος, ἐν τῷ τάφῳ προσάψαι. Δεκτέα γὰρ ταῦτα τῷ Θεῷ, καὶ πολλὴν ἐξ αὐτοῦ φέροντα τὴν ἀντίδοσιν»* (Μεγάλου Ἀθανασίου, Ἕτερα τεμάχια ἐκ τῶν τοῦ Ἁγίου Ἀθανασίου, PG 26, 1249B)

Δηλαδή: *«Ὁ εὐσεβής κεκοιμημένος καί στά ἀστέρια νά μετασταθεῖ μήν σταματήσεις νά τόν παρηγορεῖς μέ λάδι καί κεριά στόν τάφο του, καί νά ἐπικαλεῖσαι τόν Ἰησοῦ Χριστό. Αὐτά εἶναι εὐ-*

πρόσδεκτα στόν Θεό καί φέρουν πολύ μεγάλη ὠφέλεια στόν κεκοιμημένο».

15. *«Τότε Καισάριον αὐτὸν ὄψομαι, μηκέτι ἐκδημοῦντα, μηκέτι φερόμενον, μηκέτι πενθούμενον, μηκέτι ἐλεούμενον, λαμπρόν, ἔνδοξον, ὑψηλόν· οἷός μοι καὶ κατ' ὄναρ ὤφθης πολλάκις, ὦ φίλτατε ἀδελφῶν ἐμοί»* (Γρηγορίου Θεολόγου, Εἰς Καισάριον τόν ἑαυτοῦ ἀδελφόν ἐπιτάφιος, περιόντων ἔτι τῶν γονέων, PG 35, 784B).

Δηλαδή: *«Τότε θά ἀντικρύσω τόν ἴδιον τόν Καισάριο, χωρίς νά πεθαίνει πιά, χωρίς νά τόν πηγαίνουμε στόν τάφο, χωρίς νά τόν πενθοῦμε, χωρίς νά τόν λυπούμαστε. Θά εἶναι λαμπρός, ἔνδοξος, ὑψηλός, τέτοιος πού στόν ὄνειρό μου πολλές φορές σέ εἶδα, ἐσύ πού ἀπό κάθε ἀδελφό περισσότερο σέ ἀγάπησα καί μέ ἀγάπησες».*

16. *«Εἶτα ὁ ἐν βίῳ καὶ λόγῳ περίβλεπτος, καὶ τῆς τοῦ Θεοῦ Ἐκκλησίας θεμέλιος Ἀθανάσιος τάδε φησὶ περὶ τῶν ἐν Κυρίῳ νεκρῶν· ὅτιπερ διὰ τοῦτο τοὺς σωζομένους ὁ Θεὸς κεχάρισται, τὸ μέχρι τῆς κοινῆς ἀναστάσεως, ψυχικῶς ἀλλήλοις συνεῖναι καὶ συνευφραίνεσθαι, ἀπεκδοχὴν ἔχοντες τῶν μελλόντων αὐτοῖς ἀποκληροῦσθαι θείων δωρεῶν»* (Μεγάλου Ἀθανασίου, Ἕτερα τεμάχια ἐκ τῶν τοῦ Ἁγίου Ἀθανασίου, PG 26, 1249A)

Δηλαδή: *«Ὁ μέγας Ἀθανάσιος πού ἦταν θεμέλιος τῆς Ἐκκλησίας τοῦ Θεοῦ καί πασίγνωστος γιά τήν ζωή καί τόν λόγο του αὐτά ἔλεγε γιά τούς νεκρούς πού βρίσκονται κοντά στόν Κύριο. Γιά αὐτούς πού ἔχουν σωθεῖ ὁ Θεός τούς ἔχει χαρί-*

σει τό δῶρο νά εἶναι ἡ ψυχή τους κοντά Του καί νά νιώθουν εὐφροσύνη μέχρι τήν κοινή ἀνάσταση ἀλλά καί τά μελλοντικά θεῖα δῶρα καί ἀπολαβές νά ἔχουν ἐξασφαλίσει».

17. *«Πρόσεχε σεαυτῷ, ὅτι θνητὸς εἶ, Ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ»* (Μεγάλου Βασιλείου, Εἰς τὸ Πρόσεχε σαυτῷ PG 31, 209D).

Δηλαδή: *«Πρόσεχε τόν ἑαυτό σου γιατί εἶσαι θνητός, χῶμα εἶσαι καί στό χῶμα θά πᾶς».*

18. *«Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί»* (Πρός Κορινθίους Α΄, ια΄, 29-30).

19. Βλ. Σοφία Σιράχ γ΄, 11: *«Ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ».*

20. *«Ὅρος τοίνυν τῷ ζωῇ τοῦ ἀνθρώπου ἡ βουλή τοῦ Θεοῦ»* (Μεγάλου Ἀθανασίου, Ἕτερα πρός Ἀντίοχον ἄρχοντα PG 28, 668C).

21. *«Θάνατοι δὲ ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων»* (Μεγάλου Βασιλείου, Ὁμιλία ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός, PG 31, 333B).

Δηλαδή: *«Οἱ θάνατοι ἐπέρχονται, ὅταν ὁλοκληρωθοῦν οἱ προϋποθέσεις τῆς ζωῆς τοῦ ἀνθρώπου».*

Οἱ δεήσεις γιά τούς κεκοιμημένους

«Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον»· ὁ χορὸς «Κύριε, ἐλέησον» γ΄.

«Ἔτι δεόμεθα ὑπὲρ αἰωνίου μνήμης καὶ μακαρίας ἀναπαύσεως πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, ἐκ τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον»· ὁ χορὸς «Κύριε, ἐλέησον» γ΄ χῦμα.

«Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται»· ὁ χορὸς «Κύριε, ἐλέησον» γ΄ χῦμα.

«Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα»· ὁ χορὸς «Παράσχου, Κύριε».

Ὁ ἱερεὺς *«Τοῦ Κυρίου δεηθῶμεν»*, ὁ χορὸς *«Κύριε, ἐλέησον»* ἅπαξ. Ὁ ἱερεύς τήν εὐχήν·

«Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταργήσας καὶ τὸν διάβολον καταπατήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, μοναχῶν καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων

εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθέν, ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια· ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις πάντων τῶν κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν. Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ Παναγίῳ...».

Ὁ χορός τό *«Αἰωνία ἡ μνήμη»* ἐκ τρίτου.

